www.tezaurliturgic.ro

ΔΡΟΣ ΧΑΡΑΛΑΜΠΟΥΣ Μ. ΜΠΟΥΣΙΑ
Μεγάλου Ὑμνογράφου τῆς τῶν Ἀλεξανδρέων Ἐκκλησίας

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΑΠΟΣΤΟΛΟΥ

# ΣΙΜΩΝΟΣ ΤΟΥ ΚΥΡΗΝΑΙΟΥ



Ἔκδοσις Ἱερᾶς Μητροπόλεως Κυρήνης
ΑΘΗΝΑΙ 2014

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΑΠΟΣΤΟΛΟΥ

# ΣΙΜΩΝΟΣ ΤΟΥ ΚΥΡΗΝΑΙΟΥ

**Δρος Χαραλάμπους Μ. Μπούσια**
Μεγάλου Ὑμνογράφου τῆς τῶν Ἀλεξανδρέων Ἐκκλησίας

Εἰσαγωγὴ Σεβασμιωτάτου Μητροπολίτου Κυρήνης
**κ.κ. Ἀθανασίου**



Β΄ ΕΚΔΟΣΙΣ

ΕΚΔΟΣΙΣ ΙΕΡΑΣ ΜΗΤΡΟΠΟΛΕΩΣ ΚΥΡΗΝΗΣ

www.tezaurliturgic.ro

ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΑΠΟΣΤΟΛΟΥ
ΣΙΜΩΝΟΣ ΤΟΥ ΚΥΡΗΝΑΙΟΥ

Ποίημα Δρος Χαραλάμπους Μ. Μπούσια

*Διορθώσεις ὑμνολογικῶν κειμένων:*
Παρέση Τσιρίδου-Μπούσια, φιλόλογος

ISBN: 978-9963-2926-0-8

Ἐκδοτική Παραγωγή

ΕΠΤΑΛΟΦΟΣ ΕΚΔΟΤΙΚΕΣ ΕΠΙΧΕΙΡΗΣΕΙΣ

ΕΠΤΑΛΟΦΟΣ Α.Β.Ε.Ε.
Ἀρδηττοῦ 12-16, 116 36 Ἀθήνα
Τηλ.: 210.921.7513, 210.921.4820 • Fax: 210.923.7033
www.eptalofos.gr • e-mail: info@eptalofos.gr

www.tezaurliturgic.ro



Τοῖς Κυρηναίοις πεφυκόσιν,
Ἀρχιερεῦσί τε καὶ
Συνεπισκόποις,
ἐξόχως δὲ τῷ Μακαριωτάτῳ
Πάπᾳ καὶ Πατριάρχῃ
Ἀλεξανδρείας Θεοδώρῳ
Δευτέρῳ, τῷ ἀπὸ τοῦ
Ἀλεξανδρινοῦ Ὑπερῴου
σταυρικαῖς χερσὶ Χριστοῦ
τὴν Ἀφρικὴν πᾶσαν
ἐναγκαλιζομένῳ,
ἡ Ἱερὰ αὕτη Ἀκολουθία
τοῦ Ἁγίου, ἐνδόξου Ἀποστόλου,
Σίμωνος τοῦ Κυρηναίου,
τοῦ ἀραμένου τὸν Σταυρὸν
τοῦ Χριστοῦ,
μετ᾽ ἀγάπης ἀνατίθεται.

www.tezaurliturgic.ro

Ἡ Ὀρθόδοξος Ἐκκλησία γεραίρει Ἁγίους, Μάρτυρας, Ὁμολογητάς, Ἀσκητάς, καθ᾽ ὅσον δι᾽ *αὐτῶν τά πάντα καί ἐν πᾶσι Χριστός*. Οἱ Ἅγιοι μεγαλύνονται ὡς σεμνώματα Ὀρθοδόξου μαρτυρίας πίστεως καί ζωῆς. Σεμνύνονται ὡς φάροι τηλαυγεῖς, καταλιπόντες διά τῆς ἐπιγείου βιοτῆς λαμπρά ἁγιότητος παραδείγματα πρός θεάρεστον μίμησιν καί θεομίμητον ἐφαρμογήν. Τιμῶνται ὡς πρεσβευταί πρός τόν Πανάγαθον Κύριον, πρός ἐνίσχυσιν τοῦ παντοπόρου ἀπόρου ἀνθρώπου, τοῦ ἀγωνιωδῶς ἀναζητοῦντος εὐδίους πνευματικούς λιμένας.

Περίοπτον θέσιν μεταξύ τῶν τῆς θείας δόξης ἐκφαντόρων, τῶν καταλαμπρυνόντων τόν πολύφωτον τῆς καθολικῆς Ἐκκλησίας οὐρανόν, κατέχει καί ὁ Σίμων ὁ Κυρηναῖος, ὁ συμπαραστάτης τοῦ Θεανθρώπου καί πρῶτος ἐκ τῶν Ἁγίων τῆς Ἀφρικῆς. Ὁ Σίμων ὁ Κυρηναῖος, *ὃν ἠγγάρευσαν ἵνα ἄρῃ τόν σταυρόν Αὐτοῦ*, ἀνεδείχθη αφ᾽ ἑνός μέν εἰς πρότυπον ἐμπράκτου συμπαθείας καί ἀνιδιοτελοῦς συναρωγῆς πρός τόν ἐμπερίστατον ἄνθρωπον, ἀφ᾽ ἑτέρου δέ εἰς πρωτοπόρον τῆς σπορᾶς τοῦ σωτηριώδους μηνύματος τοῦ Εὐαγγελίου ὡς πατήρ τῶν ἱεραποστόλων Ἀλεξάνδρου καί Ρούφου.

Ὅθεν ἐκ μέσης καρδίας συγχαίρομεν τῷ, ἐκδίδοντι τοῖς αὐτοῦ ἀναλώμασι τόν Βίον καί τήν Ἀκολουθίαν τοῦ Ἁγίου, Σεβασμιωτάτῳ Μητροπολίτῃ Κυρήνης κυρίῳ Ἀθανασίῳ, τῷ φέροντι τίτλον ἱστορικόν, ὅν καί ἡμεῖς ἐλάβομεν διά χειρῶν τοῦ μακαριστοῦ ἡμῶν πνευματικοῦ πατρός καί Πατριάρχου κυροῦ Παρθενίου Γ΄, κατά τήν εἰς Ἐπίσκοπον χειροτονίαν ἡμῶν. Ἀπονέμομεν δέ εἰς αὐτόν ἔκθυμον τήν Πατριαρχικήν εὐαρέσκειαν ἡμῶν, ἐπικαλούμενοι ἐπ᾽ αὐτόν τήν εὐλογίαν καί τάς πρός Θεόν πρεσβείας τοῦ τιμωμένου ἀξιοθέου Σίμωνος τοῦ Κυρηναίου.

† ὁ Ἀλεξανδρείας Θεόδωρος Β΄

Ἐν τῇ Μεγάλῃ Πόλει
τῆς Ἀλεξανδρείας
τῇ 11η Μαρτίου 2013

www.tezaurliturgic.ro

# Πρόλογος

Ὁ πιστὸς Χριστιανὸς πάντοτε ἀγόγγυστα καὶ μὲ χαρὰ σηκώνει τὸν προσωπικό του σταυρὸ καὶ ἀποτελεῖ τὸ ὑγιὲς κύτταρο τῆς εὐνομούμενης πολιτείας, τῆς πολιτείας ποὺ κτίζει τὴν πρόοδό της πάνω στὴ χριστιανικὴ ἠθική, τὴν κενωτικὴ ἀγάπη, τὴν ἐνεργὴ ἐλπίδα, τὴ φιλαδελφία, τὴν ἀλληλεγγύη καὶ τὴν ἀλληλοκατανόηση. Ὁ σταυροφόρος Χριστιανὸς ποὺ ἀτενίζει στὰ μάτια τὸν Ἐσταυρωμένο μας Ἰησοῦ καὶ γοητεύεται ἀπὸ τὴν προσφορὰ ἀγάπης τοῦ Κυρηναίου Του, τοῦ Ἀποστόλου Σίμωνος, ἀποτελεῖ τὸ ἀνάχωμα τῆς ἠθικῆς καὶ τῆς οἰκονομικῆς κρίσεως τῆς κοινωνίας μας.

Ἡ προσφορὰ ἀγάπης τοῦ Ἁγίου Σίμωνος ἀκούσια στὴν ἀρχὴ μεταποιήθηκε σὲ ἰσόβια ἑκούσια ἀγάπη καὶ ἡ ἄρση ἀπ᾽ αὐτὸν τοῦ σταυροῦ δὲν περατώθηκε στὸ ὕψωμα τοῦ Γολγοθᾶ, ἀλλὰ συνεχίσθηκε μέχρι τὸ τέλος τῆς ἐπίγειας, τῆς ἱεραποστολικῆς του ζωῆς. Αὐτὴ ἡ ἰσόβια ἄρση τοῦ σταυροῦ τοῦ Κυρίου μας ἀπὸ τὸν Κυρηναῖο μᾶς παραδειγματίζει, γιατὶ εἶναι γιὰ ὅλους μας «*παιδαγωγὸς εἰς Χριστόν*» (Γαλ. γ΄ 24), καὶ μᾶς φέρνει κοντά Του, ἐξαναγκάζοντάς μας νὰ ἐλαττώσουμε τὶς ὑπέρμετρες ἐπιθυμίες μας καὶ νὰ αὐξήσουμε τὴν ἐμπιστοσύνη μας σὲ Αὐτόν, ποὺ καθημερινῶς μᾶς διδάσκει λέγοντας: «*Μάθετε, ὅτι ὁ ζυγός μου χρηστὸς καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν*» (Ματθ. ια΄ 30).

Ὁ σταυροφόρος Χριστιανός, ὁ μιμητὴς τοῦ Ἁγίου Σίμωνος, τοῦ Κυρηναίου, ἀποτελεῖ τὸ καύχημα τῆς κοινωνίας μας καὶ δείχνει τὴ δύναμη τοῦ Σταυροῦ, ποὺ μπορεῖ νὰ ἀλλάζει τὸ πρόσωπό της μὲ συμπάθεια, ἀφοῦ στηρίζεται στὴν ἐνεργὴ ἀγάπη, αὐτὴν τῆς ὁποίας ἀπόλυτη ἔκφραση ἀποτελεῖ ὁ ἴδιος ὁ Ἐσταυρωμένος Ἰησοῦς. Ἔτσι ὁ σταυροφόρος Χριστιανὸς γίνεται «*εὐχάριστος τοῖς πᾶσι*» (Κολασ. γ΄ 15), εἶναι φιλόθεος καὶ φιλάνθρωπος, ἐμπνέει τοὺς γύρω του μὲ τὸ σταυροανα-

στάσιμο ἦθος του, δημιουργεῖ ἕναν ἐπίγειο παράδεισο στὸ περιβάλλον του μὲ τὴν ἀγάπη καὶ τὸ παράδειγμά του, προβάλλει τὸ Ὀρθόδοξο φρόνημά του μὲ παρρησία καὶ ἀγωνίζεται «κόντρα στὸ ρεῦμα» κατὰ τῆς ἐνορχηστρωμένης πολεμικῆς τῆς ἀποδομήσεως τῶν Ἑλληνορθοδόξων θεμελίων τοῦ ἔθνους μας.

Ἰδιαίτερη τιμὴ περιποιεῖ στὴν ἐλαχιστότητά μου ἡ ὑμναγιολογικὴ συνεργασία μὲ τὸν ἄγαν φιλάγιο καὶ φιλακόλουθο, τὸν ταπεινὸ μιμητὴ τοῦ Ἁγίου Σίμωνος, τὸ Μητροπολίτη Κυρήνης, Γέροντα Ἀθανάσιο, γιὰ τὴν προβολὴ τῶν Ἁγίων τῆς ἱστορικῆς του Μητροπόλεως. Αὐτὸς πορευόμενος μὲ τὸ σταυρὸ στὸ χέρι διδάσκει «*Χριστὸν καὶ τοῦτον ἐσταυρωμένον*» (Α΄ Κορ. β΄ 2) καὶ ἀποτελεῖ παράδειγμα πρὸς μίμησιν, ἀφοῦ Χάριτι Θείᾳ ἐτέθη «*ὡς λύχνος ἐπὶ τὴν λυχνίαν καὶ λάμπει πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ*» (Ματθ. ε΄ 15). Ἡ προθυμία του νὰ προβεῖ στὴν ἔκδοση τῆς Ἀκολουθίας τοῦ Ἁγίου Σίμωνος, καὶ μάλιστα μὲ τὶς πενιχρὲς οἰκονομικές του δυνάμεις, μὲ ἔκανε νὰ θαυμάσω γιὰ μία ἀκόμη φορὰ τὸν ἄνδρα, ποὺ μετὰ ἀπὸ εἴκοσι αἰῶνες προβάλλει στὸ χριστεπώνυμο πλήρωμα τὸν Ἅγιο Κυρηναῖο καὶ μάλιστα μὲ θεολογικὴ προσέγγιση μοναδικὴ καὶ ἀπόλυτα τεκμηριωμένη. Εὔχομαι ὡς ἐλάχιστος τῶν εὐχετῶν του τὸ δρόμο του, ὅσο δύσβατος καὶ γεμάτος ἀγκάθια καὶ ἂν εἶναι, νὰ τὸν νοιώθει κατὰ Χριστὸν ὡραῖον ἔχοντας τὴ βοήθεια τοῦ Ἁγίου Σίμωνος καὶ στὶς δυσκολίες καὶ θλίψεις του μόνιμο Κυρηναῖο νὰ ἔχει τὸν ἴδιο τὸ Χριστό μας, ὁ ὁποῖος μᾶς ὁδηγεῖ ἀπὸ τὶς θλίψεις στὶς χαρές, ἀπὸ τὶς περιπέτειες στὴν ἀναψυχή, ἀπὸ τὸ φρικτὸ Γολγοθᾶ στὴ λαμπροφόρο ἀνάσταση, στὴν ἀτελεύτητη μακαριότητα. Αὐτὴν εὔχομαι μὲ τὶς εὐλογίες τοῦ Ἁγίου Κυρήνης, Σεβασμιωτάτου κυρίου Ἀθανασίου, νὰ ἀπολαύσομε καὶ ὅλοι ὅσοι τιμοῦμε τὴ μνήμη τοῦ Ἁγίου Ἀπστόλου Σίμωνος, τοῦ Κυρηναίου.

**Καθηγητής, Δρ Χαραλάμπης Μ. Μπούσιας,**
*Μέγας Ὑμνογράφος τῆς τῶν Ἀλεξανδρέων Ἐκκλησίας*

# ΕΙΣΑΓΩΓΗ ΤΟΥ ΣΕΒΑΣΜΙΩΤΑΤΟΥ ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΚΥΡΗΝΗΣ ΚΥΡΙΟΥ ΑΘΑΝΑΣΙΟΥ

Ἰδοὺ θείᾳ χάριτι παραδίδεται τύποις ἡ Ἀκολουθία τοῦ Ἁγίου ἐνδόξου Ἀποστόλου Σίμωνος τοῦ Κυρηναίου, τοῦ ἀραμένου τὸν Σταυρὸν τοῦ Χριστοῦ κατὰ τὴν ἐθελούσιον πορείαν Αὐτοῦ πρὸς τὸν Γολγοθᾶν, ἱερῷ πόθῳ ζητηθεῖσα καὶ πολλῇ κατανύξει συντεθεῖσα ὑπὸ τοῦ Μεγάλου Ὑμνογράφου τοῦ Θρόνου τοῦ Ἀποστόλου Μάρκου ἐλλογιμωτάτου καὶ μουσικολογιωτάτου Κυρίου Χαραλάμπους Μπούσια. Χάριτας ὡς πλείστας ὁμολογοῦμεν τῷ λίαν πεφιλημένῳ ἀδελφῷ Χαραλάμπει Μπούσιᾳ διὰ τοὺς ὀτρηροὺς πόνους αὐτοῦ ὑπὲρ τῶν Ἁγίων τῆς Ἱερᾶς Μητροπόλεως ἡμῶν Κυρήνης.

Τὸ γεγονὸς τῆς ἄρσεως τοῦ Σταυροῦ τοῦ Χριστοῦ, ἀναβαίνοντος εἰς Γολγοθᾶν, ὑπὸ τοῦ Σίμωνος τοῦ Κυρηναίου, μνημονεύεται ὑπὸ τῶν τριῶν συνοπτικῶν Εὐαγγελιστῶν. Εἰδικῶς ὁ Εὐαγγελιστὴς Μᾶρκος ἀναφέρει περὶ τούτου: «*καὶ ἀγγαρεύουσι παράγοντά τινα Σίμωνα Κυρηναῖον, ἐρχόμενον ἀπ᾽ ἀγροῦ, τὸν πατέρα Ἀλεξάνδρου καὶ Ῥούφου, ἵνα ἄρῃ τὸν σταυρὸν αὐτοῦ*» (Μκ ιε΄ 21).

Τὴν πληροφορίαν ὅτι ὁ Σίμων Κυρηναῖος ἦν πατὴρ τοῦ Ἀλεξάνδρου καὶ τοῦ Ῥούφου παραδίδει μόνον ὁ Εὐαγγελιστὴς

Μᾶρκος. Ἡ πληροφορία αὕτη, ἐκ πρώτης θεωρήσεως τυχαία, ἀποδεικνύεται σημαντικωτάτη. Οἷα μίτος τις, ὁδηγεῖ εἰς τὴν ἀποκάλυψιν τῶν συμπαρομαρτούντων.

Οὐδὲν προστίθησι τῷ γεγονότι ἡ μνεία τῶν ὀνομάτων, τοῦ Σίμωνος τοῦ Κυρηναίου καὶ τῶν υἱῶν αὐτοῦ Ἀλεξάνδρου καὶ Ῥούφου, ἂν δὲν ὑπῆρχον συμπαρομαρτοῦντα. Ὁ Εὐαγγελιστὴς ἠδύνατο νὰ εἴπῃ μόνον οἱ στρατιῶται ἀγγαρεύουσι παράγοντά τινα, ἄνευ μνείας ὀνομάτων. Μνημονεύει ὀνομαστὶ τοῦ Σίμωνος τοῦ Κυρηναίου καὶ τῶν οὐδόλως ἐμπλακέντων υἱῶν αὐτοῦ Ἀλεξάνδρου καὶ Ῥούφου, ὡς καλῶς γνωστῶν, ἐπιθυμῶν, ὅπως παραδώσῃ αὐτοὺς τῇ μνήμῃ τῆς Ἐκκλησίας. Ἦσαν δὲ καλῶς γνωστοί, ὡς Χριστιανοὶ καὶ μέλη τοῦ ἐνεργοῦ κύκλου τῶν Ἀποστόλων.

Ὁ Εὐαγγελιστὴς Μᾶρκος οὐκ ἀναφέρει ἁπλῶς Σίμωνά τινα, ἀλλὰ Σίμωνα Κυρηναῖον. Ἡ ἀναφορὰ τῆς καταγωγῆς ἀποτελεῖ ἕτερον συμπαρομαρτοῦν. Καθίσταται ἐμφανὲς ὅτι ὁ Εὐαγγελιστὴς Μᾶρκος διά τινα λόγον ἐπιθυμεῖ τὴν μνείαν οὐ μόνον τοῦ ὀνόματος, ἀλλὰ καὶ τῆς πατρίδος τοῦ ἀραμένου τὸν Σταυρὸν τοῦ Χριστοῦ.

Ὁ Εὐαγγελιστὴς Μᾶρκος ἢ Ἰωάννης ἦν Κύπριος, καθὰ ἀνεψιὸς τοῦ Κυπρίου Ἀποστόλου Βαρνάβα. Ἀλλ᾽ ἐκ τῶν συμπαρομαρτούντων εἰκάζεται ὅτι οὗτος ἦν καὶ Κυρηναῖος. Μνημονεύει τῆς πατρίδος τοῦ Σίμωνος, ὡς καὶ ἑαυτοῦ πατρίδος. Ἀμφοτέρας, Κύπρον καὶ Κυρήνην, συμπεριέλαβεν οὗτος κατὰ τὴν ἐντολὴν τοῦ Κυρίου εἰς τὴν προσωπικὴν μαθητείαν τῶν ἐθνῶν. Πρῶτον συνώδευσε τοὺς Ἀποστόλους Παῦλον καὶ Βαρνάβαν εἰς Κύπρον κατὰ τὸν εὐαγγελισμόν αὐτῆς. Εἶτα μετέβη εἰς Ῥώμην, κληθεὶς ὑπὸ τοῦ Ἀποστόλου Παύλου, ὡς «*εὔχρηστος εἰς διακονίαν*» (2Τμ ιδ´ 11). Ἐκεῖθεν, μεταβαίνων εἰς Ἀλεξάνδρειαν, ἐν ᾗ θὰ καθίδρυε τὴν δεδοξασμένην Ἐκκλησίαν

αὐτοῦ, δεχόμενος καὶ τὸν στέφανον τοῦ μαρτυρίου, ἐπεδήμησεν ἐν τῇ πεφιλημένῃ αὐτῷ Κυρήνῃ, ἔνθα ἵδρυσε τὴν Ἐκκλησίαν αὐτῆς, ἀποστολικήν τε καὶ πρώτην ἐν τῇ ἀφρικανικῇ ἠπείρῳ.

Ἡ Ἁγία Γραφὴ οὐ παρέχει ἕτερα στοιχεῖα περὶ τοῦ Σίμωνος τοῦ Κυρηναίου καὶ τῶν υἱῶν αὐτοῦ. Οἱ ἐρευνηταὶ αὐτῆς ὑποτοπάζουσιν ὅτι ὁ ἀναφερόμενος ὑπὸ τοῦ Ἀποστόλου Παύλου Ῥοῦφος ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ αὐτοῦ, λέγοντος: *«ἀσπάσασθε Ῥοῦφον τὸν ἐκλεκτὸν ἐν Κυρίῳ καὶ τὴν μητέρα αὐτοῦ καὶ ἐμοῦ»* (Ρω ιστ´ 13) ἦν υἱὸς τοῦ Σίμωνος τοῦ Κυρηναίου, συμμετέχων ἐνεργῶς τῷ ἔργῳ τῶν Ἀποστόλων.

Ἀλλ᾽, ἂν ἡ Ἁγία Γραφὴ σιγᾷ, πάντως κατὰ θείαν πρόνοιαν περὶ τοῦ συντάγματος αὐτῆς, ἡ Παράδοσις, ἡ ἀρχαιόθεν συμπαρομαρτοῦσα ταύτῃ, οὐκ ἂν ἐσίγα περὶ τοῦ ἀνθρώπου ἐκείνου, ὅστις ἦρατο τὸν σωτήριον Σταυρὸν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἐπλύθη καὶ ἐκαθάρθη ἐν τοῖς πανακηράτοις αἵμασιν Αὐτοῦ. Ἀνελάβατο οὗτος ἐξαίρετον καὶ μοναδικὴν διακονίαν, ἐν τῷ ἔργῳ τῆς Θείας Οἰκονομίας, γενόμενος ἀρωγὸς τῷ αὐτοῦ καὶ ἡμῶν Δεσπότῃ Χριστῷ ἐν τῇ ἄρσει τοῦ Σταυροῦ Αὐτοῦ. Μεταγενέστεραί τινες ὑπερβολαὶ οὐκ ἐπηρεάζουσι τὴν Παράδοσιν, ἀλλ᾽ ἀποτυποῦσι τὴν πίστιν τοῦ σέβοντος λαοῦ τοῦ Θεοῦ, ἥτις ἑδράζεται ἐν τῷ παρόντι κόσμῳ τῆς φαινομένης πραγματικότητος καὶ τῷ ἐπέκεινα τοῦ θαύματος. Ἡ Φιλοσοφία σήμερον ἀδυνατεῖ, ὅπως ὁρίσῃ ἐπ᾽ ἀκριβὲς τί ἐστιν εἶναι, τί γνῶσις καὶ τί ἀλήθεια.

Ἡ γεραρὰ Παράδοσις μαρτυρεῖ ὅτι ὁ Σίμων ὁ Κυρηναῖος ἠκολούθησε τοῖς Ἀποστόλοις εἰς Ἀντιόχειαν, ἔνθα κατέφυγον οἱ Χριστιανοὶ μετὰ τὴν Σταύρωσιν τοῦ Κυρίου καὶ τὸν ἐπακολουθήσαντα διωγμὸν αὐτῶν, συμμετασχὼν τῷ ἀποστολικῷ ἔργῳ. Οἱ υἱοὶ αὐτοῦ Ἀλέξανδρος καὶ Ῥοῦφος ἐπορεύθησαν μετὰ τοῦ Ἀποστόλου Πέτρου εἰς Ῥώμην, συναντηθέντες μετὰ τοῦ

ἐκεῖ ἀφικομένου Ἀποστόλου Παύλου. Ὁ Ἀλέξανδρος ἐμαρτύρησεν ἐν Καρθαγένῃ καὶ ὁ Ῥοῦφος πιθανῶς διετέλεσεν ἐπίσκοπος τῆς ἐνεγκαμένης τὸν πατέρα αὐτοῦ Κυρήνης.

Ἡ θεία πρόνοια ηὐδόκησεν, ὅπως μνημονευθῇ ἐν τῇ Ἁγίᾳ Γραφῇ καὶ ἡ Ἁγία Μήτηρ τῆς οἰκογενείας Σίμωνος τοῦ Κυρηναίου πρὸς ἣν ἐπιστέλλει ἀσπασμὸν ὁ Ἀπόστολος Παῦλος, ὡς πνευματικὴν μητέρα αὐτοῦ.

Οἱ Ἅγιοι Πατέρες, μεθερμηνεύοντες ἐν εἰκόσι τὸ σχέδιον τοῦ Θεοῦ, ὡς ἐγκεχάρακται ἐν τῇ Βίβλῳ, ἐθεολόγησαν περὶ πρώτου Ἀδάμ, τοῦ χοϊκοῦ προπάτορος, τοῦ παρακούσαντος τοῦ Θεοῦ καὶ πᾶσι θάνατον ἐπενεγκόντος, καὶ περὶ δευτέρου Ἀδάμ, τοῦ Υἱοῦ τοῦ Θεοῦ, τοῦ ὑπακούσαντος τῷ Πατρί, τοῦ Θεανθρώπου Χριστοῦ, τοῦ ἀποκαθάραντος διὰ τοῦ πολυτιμήτου αἵματος Αὐτοῦ ἐν τῷ Σταυρῷ τὸν πρῶτον Ἀδὰμ καὶ τοὺς ἐξ αὐτοῦ καὶ χαρισαμένου αὐτοῖς τὴν σωτηρίαν. Ἐθεολόγησαν καὶ περὶ πρώτης Εὔας, τῆς τικτούσης τέκνα θανάτου διὰ τὴν παρακοήν, καὶ περὶ νέας Εὔας, τῆς Θεοτόκου Μαρίας, τῆς τεκούσης εὐδοκίᾳ τοῦ Πατρός, ἐπιφοιτήσει δὲ τοῦ Παναγίου Πνεύματος Θεὸν καὶ Ἄνθρωπον Ἰησοῦν Χριστόν, χορηγὸν αἰωνίου ζωῆς δι᾽ ἀναφορᾶς τῶν ἀνθρώπων πρὸς τὴν θεότητα Αὐτοῦ, δι᾽ ἧς ἀποκατεστάθη ἡ χάρις τῆς καθ᾽ ὁμοίωσιν θεώσεως.

Ὁ πρὸ πάντων τῶν αἰώνων ὑπάρχων Θεὸς διὰ τοῦ συνανάρχου Λόγου Αὐτοῦ ἔθεσεν ἐν ὑπάρξει τὴν ἐν ὕλῃ καὶ χρόνῳ δημιουργίαν, ὁρατήν τε καὶ ἀόρατον, ἣν εἶχεν ἐν νῷ. Ἐν τῇ ἀπείρῳ ἀγάπῃ αὐτοῦ ἐδημιούργησε καὶ τὴν κορωνίδα τῆς δημιουργίας, τὸν ἄνθρωπον, ἄνδρα καὶ γυναῖκα, ἐμφυσήσας αὐτῷ τὴν ζωαρχικὴν πνοὴν Αὐτοῦ. Οὐκ ἐδημιούργησεν ἄνθρωπον, ὑποκείμενον εἰς φθορὰν καὶ μέτοχον κακοῦ, διότι Οὗτος εἶναι παντέλειος καὶ πανάγαθος, οὐδὲ δοῦλον, στερούμενον ἐλευθερίας καὶ ἐξουσίας, διότι Οὗτος εἶναι παντελεύθερος καὶ παντε-

ξούσιος. Ἐδημιούργησεν ἄνθρωπον ἄφθορον, ἀγαθόν, ἐλεύθερον καὶ αὐτεξούσιον. Ὡς αὐτεξούσιος ὁ ἄνθρωπος, ἠδύνατο νὰ διενεργήσῃ τὴν ἐλευθερίαν αὐτοῦ, ὑπακούων ταῖς ἐντολαῖς τοῦ Θεοῦ. Ἀλλ᾽ ὁ ἄνθρωπος, ὁ Ἀδὰμ καὶ ἡ Εὔα, θεωθῆναι θελήσας ἄνευ τοῦ Θεοῦ κατὰ κατάχρησιν τοῦ δοθέντος αὐτῷ αὐτεξουσίου, ἐστασίασε κατὰ τοῦ Θεοῦ καὶ ἐξέπεσε τῆς χάριτος. Ἀλλ᾽ οὐκ ἐστασίασε καὶ ἐξέπεσε μόνος ὁ Ἀδάμ. Ὡς ἐκ προσώπου αὐτοῦ ἐστασίασε καὶ ἐξέπεσε πᾶσα ἡ ἀνθρωπότης καὶ μετ᾽ αὐτῆς ἡ κτίσις πᾶσα, ἥτις συμπάσχει καὶ συνοδυνᾶται.

Ἀλλ᾽ ὁ Θεός, ὢν ἀγάπη, ἀνεκλάλητος καὶ ἀνεκδιήγητος, οὐ κατέλιπε τὸν τραχηλιάσαντα ἄνθρωπον ἐν τῇ πτώσει αὐτοῦ, ἀλλ᾽ ἐξαπέστειλε τὸν Υἱὸν Αὐτοῦ τὸν μονογενῆ, γενόμενον ἄνθρωπον, νέον Ἀδὰμ ἀναμάρτητον, γεννώμενον ἐκ γυναικός, τῆς Ἁγίας Θεοτόκου καὶ Ἀειπαρθένου Μαρίας, νέας Εὔας, ἵνα σώσῃ δι᾽ Αὐτοῦ τὸν ἄνθρωπον, ἀποκαθιστῶν αὐτὸν ἐν καινῇ κτίσει, θεοείκελον. Ὁ Θεὸς ἐξαπέστειλε τὸν Υἱὸν Αὐτοῦ τὸν μονογενῆ, οὐχὶ κατὰ προϋπόθεσιν τῆς παρακοῆς τοῦ ἀνθρώπου, ἀλλ᾽ ἀπροϋποθέτως ἐξ ἀπείρου ἀγάπης, τῆς τὰ πάντα νικώσης.

Ἄνθρωπος γίνεται ὁ Θεός, ἵνα Θεὸν τὸν Ἀδὰμ ἀπεργάσηται, ἀναλαμβάνων αὐτὸν πρὸς Ἑαυτόν, ἀλλ᾽ ὁ λαὸς τῆς Ἱερουσαλὴμ ἐστασίασε καὶ πάλιν κατ᾽ Αὐτοῦ, ὡς ὁ πάλαι Ἀδάμ. Ἐστασίασε καὶ παρέδωσε τὸν εὐεργέτην αὐτοῦ εἰς ἐμπαιγμούς, μαστιγώσεις, κολαφισμοὺς καὶ σταυρικὸν θάνατον. Ὡς ἐν τῷ πρώτῳ στασιασμῷ οὐκ ἐστασίασαν μόνοι ὁ Ἀδὰμ καὶ ἡ Εὔα, ἀλλὰ πάντες οἱ ἐξ αὐτῶν, οὕτω καὶ ἐν τῷ δευτέρῳ οὐκ ἐστασίασε μόνος ὁ λαὸς τῆς Ἱερουσαλήμ, ἀλλὰ σύμπασα ἡ ἀνθρωπότης, ἡ πρὶν καὶ ἡ μετὰ ταῦτα. Ὡς ἐκ προσώπου τοῦ λαοῦ τῆς Ἱερουσαλήμ, σύμπασα ἡ ἀνθρωπότης συμμετέχει εἰς τοὺς ἐμπαιγμούς, τὰς μαστιγώσεις, τοὺς κολαφισμοὺς καὶ τὸν

σταυρικὸν θάνατον τοῦ Χριστοῦ. Ἡ κραυγὴ *«τὸ αἷμα αὐτοῦ ἐφ᾽ ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν»* (Μκ κζ´ 25) οὐ καθιστᾷ ὑπόλογον τῆς σταυρώσεως τοῦ Χριστοῦ μόνον τὸν λαὸν τῶν Ἱεροσολύμων, ἀλλὰ σύμπασαν τὴν ἀνθρωπότητα.

Ἀλλ᾽ ὑπάρχει ἀντίδοτον τοῦ μίσους. Ὁ πανάγαθος Θεός, ὢν ἀγάπη, ἀντιτάσσει τῷ μίσει τὴν ἀγάπην. Καταλύει τὸ μῖσος διὰ τῆς ἀνεικάστου, ἀπερινοήτου, ἀκαταλήπτου καὶ ἀκενώτου ἀγάπης Αὐτοῦ, τῆς ἐρατεινῆς. Ἡ ἀπάντησις τοῦ Θεοῦ εἰς τὸ μῖσος τῆς ἀνθρωπότητος εἶναι ὁ Σταυρός. Τὸ τίμιον καὶ πανάχραντον αἷμα τοῦ Σωτῆρος ἡμῶν Θεοῦ χεῖται ἀκενώτως ἐπὶ τοῦ Σταυροῦ δι᾽ ὑπεράπειρον μανικὴν ἀγάπην Αὐτοῦ πρὸς τὸν ἄνθρωπον.

Παραδίδεται ὁ Χριστὸς εἰς θάνατον καὶ ἐγκαταλείπεται παρὰ πάντων. Ποῦ οἱ μαθηταὶ Αὐτοῦ; Ἐπτοήθησαν καὶ ἐκρύβησαν. Ποῦ οἱ εὐεργετηθέντες; Οὐκ ἠκούσθη ἡ ὑπὲρ Αὐτοῦ συνηγορία αὐτῶν. Ὁ Πέτρος ἠρνήσατο Αὐτὸν τρίς, ὡς προεῖπεν αὐτῷ ὁ Χριστός: *«πρὶν ἀλέκτορα φωνῆσαι τρὶς ἀπαρνήσῃ με»* (Μκ κστ´ 75). Ἡ ἀπάρνησις τοῦ πάσχοντος Χριστοῦ παρὰ πάντων τονίζει εἰς τὸ ἔπακρον τὴν ἀνυπέρβλητον καὶ ὑπερόριον ἀγάπην τοῦ Θεοῦ πρὸς τὸν ἄνθρωπον καὶ τὸ ἀστάθμητον τῆς θείας Αὐτοῦ μακροθυμίας.

Ἠρνήσατο ὁ Πέτρος ἐν ὥρᾳ λιποψυχίας, ἀλλά, συνελθὼν ἐκ τῆς φωνῆς τοῦ ἀλέκτορος, μετενόησε καὶ ἔκλαυσε πικρῶς. Ὁ ἀλέκτωρ, ὁ διὰ τοῦ λαλήματος αὐτοῦ σημαίνων τὴν διάλυσιν τοῦ σκότους καὶ τὴν ἐπιφάνειαν τοῦ φωτός, ἔλαβεν ἰδιαιτέραν σημαντικὴν ἐν ταῖς παραδόσεσι. Συναγαγὼν τὸν ἀρνηθέντα Πέτρον εἰς μετάνοιαν, ἐγένετο ἐν τῇ χριστιανικῇ Παραδόσει καὶ σύμβολον μετανοίας καὶ θείου ἐλέους. Κατ᾽ ὀνοματοποιίαν ἐκ τοῦ λαλήματος αὐτοῦ ὁ ἀλέκτωρ καλεῖται ἐν τῇ ἀρχαίᾳ γλώσσῃ κικκός. Ἐκ τύπου κίκκος, σημαίνοντος τὸν ἀλέκτο-

ρα, ἔλαβε πιθανῶς τὸ ὄνομα αὐτῆς καὶ ἡ ἐν Κύπρῳ Ἱερὰ Βασιλικὴ Σταυροπηγιακὴ Μονὴ τῆς Ἐλεούσης Παναγίας τοῦ Κύκκου. Τὸ λάλημα κίκκου πτηνοῦ ἀκούεται εἰσέτι ἐν δημώδει ᾄσματι περὶ τῆς ἱδρύσεως αὐτῆς. Ἡ γεραρὰ αὕτη Μονὴ ὑπάρχει καὶ ἡ Μονὴ τῆς ἡμετέρας μετανοίας, πρὸς ἣν μένει πάντοτε προσηλωμένη ἡ ψυχὴ καὶ ἐρριζωμένη ἡ καρδία ἡμῶν, εὐγνωμονοῦσα.

Ἡ ἀνθρωπότης, ὡς ἐκ προσώπου τοῦ λαοῦ τῆς Ἱερουσαλήμ, ἠρνήσατο τὸν Χριστὸν ἐν τῇ ὥρᾳ τοῦ ὑπὲρ αὐτῆς Πάθους Αὐτοῦ. Ἀλλ᾽ ὑπῆρξε καὶ ἐκεῖνος, ὅστις, ὡς ἐκ προσώπου πάλιν τῆς ἀνθρωπότητος, οὐκ ἠρνήσατο τὸν Χριστὸν ἐν τῇ ὥρᾳ ἐκείνῃ. Οὗτος μνημονεύεται Σίμων Κυρηναῖος, ὁ ἀράμενος τὸν Σταυρὸν τοῦ Χριστοῦ καὶ συμπορευθεὶς ἄνω, εἰς τὸν τοῦ Κρανίου τόπον, ἤτοι τὸν φρικτὸν Γολγοθᾶν. Παρεμύθησε τὸν Δεσπότην Χριστόν, ἔστω κατὰ μικρόν, ἀναψύξας Αὐτὸν τῆς στενοχωρίας τοῦ παθητοῦ σώματος ἐκ τοῦ δυσβαστάκτου φορτίου τοῦ Σταυροῦ Αὐτοῦ.

Ὁ ἄνθρωπος, ὁ Ἀδὰμ καὶ ἡ Εὔα, καθαρθεὶς διὰ τοῦ Σταυροῦ, ἀποκατεστάθη, ὥστε ἐν τῇ παραστάσει τῆς Ἀναστάσεως προσφυῶς εἰκονίζεται ἐγειρόμενος ἐκ του Ἅιδου ὑπὸ τοῦ πατήσαντος θανάτῳ τὸν θάνατον καὶ ἀναστάντος Κυρίου, ὡς ἐκ προσώπου τοῦ ἀνθρωπίνου γένους. Ἂν ὁ παθητὸς Χριστὸς οὐκ ἠδύνατο ἆραι τὸν Σταυρὸν Αὐτοῦ, ὡς εἴθισται περὶ τῶν σταυρουμένων, ὑπῆρχον καὶ ἄλλοι τρόποι μεταφορᾶς αὐτοῦ. Ὁ Χριστός, πορευόμενος εἰς τὸ ὕψιστον θυσιαστήριον, εἰς τὸν Γολγοθᾶν, ἔπεσεν ὑπὸ τὸν Σταυρόν, ἵνα καὶ ὁ ἄνθρωπος ἐν τῷ προσώπῳ Σίμωνος τοῦ Κυρηναίου πορευθῇ ἄνω μετ᾽ Αὐτοῦ καὶ συμμετάσχῃ εἰς τὴν Σταύρωσιν καὶ τὴν Ἀνάστασιν. Σίμων ὁ Κυρηναῖος, ὡς ἐκ προσώπου πάλιν τοῦ ἀνθρωπίνου γένους παντός, ἠκολούθησε μετὰ σταυροῦ τῷ Χριστῷ, γενόμενος

αἰώνιον σύμβολον τῆς ἀνταγαπώσης τὸν ὑπεραγαπῶντα Θεὸν ἀνθρωπότητος, τῆς συσταυρουμένης καὶ συνανισταμένης μετ᾽ Αὐτοῦ. Τὸν ἐθελούσιον σταυρὸν ἔθεσεν ὁ Χριστός, ὡς θεμέλιον τῆς ἀνταποκρίσεως τῶν ἀνθρώπων εἰς τὴν ἐράσμιον ἀγάπην τοῦ Θεοῦ, εἰπών: «*εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθείτω μοι*» (Μκ ιστ΄ 24).

Ἡ ἐν ὕψει ἄρσις, τὸ μετάρσιον, τὴν παρουσίαν τοῦ Θεοῦ δηλοῖ. Ὁ Μυστικὸς Δεῖπνος, ἐν ᾧ παρεδόθη ὑπὸ τοῦ Μεγάλου Ἀρχιερέως Χριστοῦ τὸ μυστήριον τῆς Θείας Εὐχαριστίας, τελεῖται ἐν ἀνωγαίῳ, οἷα ἐν οὐρανῷ. Διηγεῖται ὁ Εὐαγγελιστής: «*εἴπατε τῷ οἰκοδεσπότῃ ὅτι ὁ διδάσκαλος λέγει ποῦ ἐστι τὸ κατάλυμά μου, ὅπου τὸ πάσχα μετὰ τῶν μαθητῶν μου φάγω; καὶ αὐτὸς ὑμῖν δείξει ἀνώγαιον μέγα ἐστρωμένον ἕτοιμον· ἐκεῖ ἑτοιμάσατε ἡμῖν*» (Μκ δ΄ 14-15).

Ἡ ἐπιφοίτησις τοῦ Ἁγίου Πνεύματος κατὰ τὴν Πεντηκοστὴν τελεῖται ἐν ὑπερῴῳ, ἔνθα προσεκαρτέρουν οἱ Μαθηταί, ἡ Μήτηρ τοῦ Ἰησοῦ μετὰ τῶν νομιζομένων ἀδελφῶν Αὐτοῦ καὶ ἄλλοι. Ὁ συγγραφεὺς τῶν Πράξεων τῶν Ἀποστόλων Εὐαγγελιστὴς Λουκᾶς διηγεῖται: «*καὶ ὅτε εἰσῆλθον, ἀνέβησαν εἰς τὸ ὑπερῷον, οὗ ἦσαν καταμένοντες, ὅ τε Πέτρος καὶ Ἰάκωβος καὶ Ἰωάννης καὶ Ἀνδρέας, Φίλιππος καὶ Θωμᾶς, Βαρθολομαῖος καὶ Ματθαῖος, Ἰάκωβος Ἀλφαίου καὶ Σίμων ὁ Ζηλωτὴς καὶ Ἰούδας Ἰακώβου. Οὗτοι πάντες ἦσαν προσκαρτεροῦντες ὁμοθυμαδὸν τῇ προσευχῇ καὶ τῇ δεήσει σὺν γυναιξὶ καὶ Μαρίᾳ τῇ μητρὶ τοῦ Ἰησοῦ καὶ σὺν τοῖς ἀδελφοῖς αὐτοῦ*» (Πρ α΄ 13-14).

Κατὰ τὸν Ἀπόστολον Παῦλον ἡ Δευτέρα Παρουσία τοῦ Χριστοῦ τελεσθήσεται ἐν ὕψει, ἐν τῷ ἀέρι: «*ὅτι αὐτὸς ὁ Κύριος ἐν κελεύσματι, ἐν φωνῇ ἀρχαγγέλου καὶ ἐν σάλπιγγι Θεοῦ καταβήσεται ἀπ᾽ οὐρανοῦ, καὶ οἱ νεκροὶ ἐν Χριστῷ ἀναστήσον-*

www.tezaurliturgic.ro

*ται πρῶτον, ἔπειτα ἡμεῖς οἱ ζῶντες, οἱ περιλειπόμενοι ἅμα σὺν αὐτοῖς ἁρπαγησόμεθα ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα, καὶ οὕτω πάντοτε σὺν Κυρίῳ ἐσόμεθα»* (1Θε δ΄ 16-17).

Ὁ σταυρός, ὄργανον θανάτου ἀτιμώσεως τὸ πρίν, διὰ τῆς ὑψώσεως τοῦ Χριστοῦ ἐν αὐτῷ ἐγένετο σύμβολον τῆς παρουσίας τοῦ Θεοῦ καὶ τίμιον ἐχέγγυον σωτηρίας. Ὁ Ἅγιος Ἀθανάσιος ὁ Ἀλεξανδρείας, ὁ Μέγας Πατὴρ καὶ Διδάσκαλος τῆς Ἐκκλησίας οὗτος, ὁ ἐμπνευστὴς τῶν ἑπτὰ πρώτων ἄρθρων τοῦ Συμβόλου τῆς Πίστεως, τοῦ ἐν Νικαίᾳ, προϋτύπωσε τὴν σημειολογίαν τῆς ὑψώσεως τοῦ Σταυροῦ ἐν τῷ Γολγοθᾷ. Ὁ Χριστὸς ἥπλωσε τὰς παλάμας ἐν τῷ Σταυρῷ, ἵνα ἑνώσῃ τὰ τὸ πρὶν διεστῶτα καὶ ἐναγκαλισθῇ πάντας τοὺς ἀνθρώπους, καὶ ἀπέθανεν ἐν ὕψει ἐπ᾽ αὐτοῦ, ἵνα καθάρῃ τὸν ἀέρα καὶ διανοίξῃ τὴν ἄνοδον πρὸς τοὺς οὐρανούς. Γράφει ὁ Μέγας Ἀθανάσιος:

*«Πῶς ἂν ἡμᾶς προσεκαλέσατο, εἰ μὴ ἐσταύρωτο; Ἐν μόνῳ γὰρ τῷ σταυρῷ ἐκτεταμέναις χερσί τις ἀποθνήσκει. Διὸ καὶ τοῦτο ἔπρεπεν ὑπομεῖναι τὸν Κύριον, καὶ τὰς χεῖρας ἐκτεῖναι, ἵνα τῇ μὲν τὸν παλαιὸν λαόν, τῇ δὲ τοὺς ἀπὸ τῶν ἐθνῶν ἑλκύσῃ, καὶ ἀμφοτέρους ἐν ἑαυτῷ συνάψῃ. Τοῦτο γὰρ καὶ αὐτὸς εἴρηκεν, σημαίνων ποίῳ θανάτῳ ἔμελλε λυτροῦσθαι τοὺς πάντας. Ὅταν ὑψωθῶ, φησιν, πάντας ἑλκύσω πρὸς ἐμαυτόν. Καὶ πάλιν, εἰ ὁ ἐχθρὸς τοῦ γένους ἡμῶν διάβολος, ἐκπεσὼν ἀπὸ τοῦ οὐρανοῦ, περὶ τὸν ἀέρα τὸν ὧδε κάτω πλανᾶται, κἀκεῖ τῶν σὺν αὐτῷ δαιμόνων ὡς ὁμοίων ἐν τῇ ἀπειθείᾳ ἐξουσιάζων, φαντασίας μὲν δι᾽ αὐτῶν ἐνεργεῖ τοῖς ἀπατωμένοις, ἐπιχειρεῖ δὲ τοῖς ἀνερχομένοις ἐμποδίζειν καὶ περὶ τούτου φησὶν ὁ Ἀπόστολος Κατὰ τὸν ἄρχοντα τῆς ἐξουσίας τοῦ ἀέρος, τοῦ πνεύματος τοῦ νῦν ἐνεργοῦντος ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας. Ἦλθε δὲ ὁ Κύριος, ἵνα τὸν μὲν διάβολον καταβάλῃ, τὸν δὲ ἀέρα καθαρίσῃ, καὶ ὁδοποιήσῃ ἡμῖν τὴν εἰς οὐρανοὺς ἄνοδον, ὡς εἶπεν ὁ Ἀπόστολος,*

*διὰ τοῦ καταπετάσματος, τουτέστι τῆς σαρκὸς αὐτοῦ τοῦτο δὲ ἔδει γενέσθαι διὰ τοῦ θανάτου ποίῳ δ᾽ ἂν ἄλλῳ θανάτῳ ἐγεγόνει ταῦτα ἢ τῷ ἐν ἀέρι γενομένῳ, φημὶ δὴ τῷ σταυρῷ; Μόνος γὰρ ἐν τῷ ἀέρι τις ἀποθνήσκει, ὁ σταυρῷ τελειούμενος. Διὸ καὶ εἰκότως τοῦτον ὑπέμεινεν ὁ Κύριος. Οὕτω γὰρ ὑψωθείς, τὸν μὲν ἀέρα ἐκαθάριζεν ἀπό τε τῆς διαβολικῆς καὶ πάσης τῶν δαιμόνων ἐπιβουλῆς, λέγων· Ἐθεώρουν τὸν Σατανᾶν ὡς ἀστραπὴν πεσόντα· τὴν δὲ εἰς οὐρανοὺς ἄνοδον ὁδοποιῶν ἀνεκαίνιζε, λέγων πάλιν· Ἄρατε πύλας, οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε, πύλαι αἰώνιοι. Οὐ γὰρ αὐτὸς ὁ Λόγος ἦν ὁ χρήζων ἀνοίξεως τῶν πυλῶν, Κύριος τῶν πάντων ὤν οὐδὲ κεκλεισμένον ἦν τι τῶν ποιημάτων τῷ ποιητῇ, ἀλλ᾽ ἡμεῖς ἦμεν οἱ χρήζοντες, οὓς ἀνέφερεν αὐτὸς διὰ τοῦ ἰδίου σώματος αὐτοῦ. Ὡς γὰρ ὑπὲρ πάντων αὐτὸ προσήνεγκε τῷ θανάτῳ, οὕτω δι᾽ αὐτοῦ πάλιν ὡδοποίησε τὴν εἰς οὐρανοὺς ἄνοδον»* (Λόγος περὶ τῆς ἐνανθρωπήσεως τοῦ Λόγου καὶ τῆς διὰ σώματος πρὸς ἡμᾶς ἐπιφανείας αὐτοῦ, 25).

Ἐν τῷ Ἁγίῳ Εὐαγγελίῳ οὐ γίνεται λόγος περὶ τῆς δράσεως τοῦ Σίμωνος τοῦ Κυρηναίου ἐν τῇ Ἐκκλησίᾳ. Ἀλλ᾽ ἡ συνείδησις αὐτῆς καὶ ἡ Παράδοσις θεωρεῖ τοῦτον Ἅγιον καὶ ηὐλογημένον. Ἀρκεῖ αὐτῷ ὅτι, ὡς ἐκ προσώπου τοῦ ἀνθρωπίνου γένους παντός, ἦρε τὸν Σταυρὸν τοῦ Χριστοῦ, παρακλήσεως πρόξενος γενόμενος τῷ Δεσπότῃ ἡμῶν καὶ Κυρίῳ. Διὰ μόνης τῆς μνείας τοῦ σημασιολογικοῦ τούτου γεγονότος ἐν τῷ Εὐαγγελίῳ ἔλαβεν οὗτος τὴν ἀξίαν ἀνταπόδοσιν αὐτοῦ.

Τὸ Ἅγιον Εὐαγγέλιον οὐδόλως ἀποτελεῖ ἱστορικὸν χρονικόν, ὥστε νὰ καταχωρίζωνται ἐν αὐτῷ ἐν λεπτομερείᾳ ἱστορικὰ καὶ βιογραφικὰ στοιχεῖα. Ὡς καὶ τὸ ὄνομα αὐτοῦ δηλοῖ, ἀγγέλλει τὴν θεότητα τοῦ Χριστοῦ καὶ τὴν δι᾽ αὐτοῦ σωτηρίαν τοῦ σύμπαντος κόσμου, τοῦ τὴν χαρὰν δεξαμένου. Οὐδὲ τὰ ἔργα τοῦ

Χριστοῦ μνημονεύονται πάντα ἐν τῷ Εὐαγγελίῳ. Περαίνων ὁ Εὐαγγελιστὴς Ἰωάννης, λέγει περὶ τούτων: «*ἔστι δὲ καὶ ἄλλα πολλὰ ὅσα ἐποίησεν ὁ Ἰησοῦς, ἅτινα ἐὰν γράφηται καθ᾽ ἕν, Οὐδὲ αὐτὸν οἶμαι τὸν κόσμον χωρῆσαι τὰ γραφόμενα βιβλία*» (Ἰω κα΄ 25).

Μερικὴ εἶναι καὶ ἡ μνεία τῆς Μητρὸς τοῦ Χριστοῦ, τῆς Ἀχράντου Θεοτόκου καὶ Ἀειπαρθένου Μαρίας. Αὕτη μνημονεύεται ἐν τοῖς τέτταρσιν Εὐαγγελίοις καὶ ἅπαξ μόνον ἐν ταῖς Πράξεσι τῶν Ἀποστόλων, τῇ συνεχείᾳ τοῦ Εὐαγγελίου τοῦ Εὐαγγελιστοῦ Λουκᾶ, ὅτι παρίστατο ἐν τῷ ὑπερῴῳ μετ᾽ ἄλλων γυναικῶν κατὰ τὴν ἐπιφοίτησιν τοῦ Ἁγίου Πνεύματος. Αἱ Ἐπιστολαὶ σιγῶσι περὶ αὐτῆς, καίπερ Αὕτη ἀπελάμβανε παρὰ πάντων ἐν τῇ Ἐκκλησίᾳ τὸ μέγα σέβας ὅτι ἔτεκε τὸν Χριστόν, οὗ ἄνευ οὐκ ἂν ἦν Ἐκκλησία. Ἀρκεῖ αὐτῇ τὸ ἕν, τὸ μέγα, ὅτι ἐστίν ἡ ὄντως Θεοτόκος.

Ἀλλ᾽ οὐδὲ ἡ δρᾶσις πάντων τῶν Ἀποστόλων μνημονεύεται ἐν τῷ Εὐαγγελίῳ. Αἱ Πράξεις τῶν Ἀποστόλων καταγράφουσι τὴν ἵδρυσιν τῆς Ἐκκλησίας καὶ τὴν δρᾶσιν ἰδίᾳ τῶν δύο κορυφαίων Ἀποστόλων Πέτρου καὶ Παύλου, ὡς ἐκ προσώπου καὶ τῶν ἄλλων. Ἡ δρᾶσις τῶν ἄλλων Ἀποστόλων παραδίδεται τῇ Ἐκκλησίᾳ διὰ τῆς Παραδόσεως.

Τούτων οὕτως ἐχόντων, ἡ μνεία τοῦ Σίμωνος τοῦ Κυρηναίου, τοῦ ἀραμένου τὸν Σταυρὸν τοῦ Χριστοῦ, καὶ τῶν υἱῶν αὐτοῦ Ἀλεξάνδρου καὶ Ῥούφου ἀποτελεῖ ἐπαρκεστάτην μνείαν ἐν τῷ ἱερῷ Εὐαγγελίῳ.

Τὸ περιεχόμενον τοῦ Εὐαγγελίου στηρίζεται εἰς τὸν σκοπὸν καὶ τὸν τρόπον δημιουργίας αὐτοῦ.

Οἱ πρῶτοι Χριστιανοὶ συνήρχοντο ἐν συναγωγαῖς καὶ οἰκίαις, ἔνθα ἤσθιον τὸν ἄρτον καὶ ἔπινον τὸ ποτήριον, δηλαδὴ ἐτέλουν τὸ παρὰ Κυρίου παραδοθὲν μυστήριον τῆς Θείας Εὐχαριστίας.

Ὡς ἐγίνετο καὶ ἐν ταῖς συναγωγαῖς τῶν Ἰουδαίων, κατὰ τὰς ἐκκλησίας ταύτας ἐψάλλοντο ψαλμοὶ καὶ ἀνεγιγνώσκοντο καὶ ἡρμηνεύοντο χωρία τῆς Παλαιᾶς Διαθήκης, ἰδίᾳ προφητεῖαι, πληρωθεῖσαι, περὶ Χριστοῦ. Ἀνεγιγνώσκετο ἐπίσης ἡ γενεαλογία τοῦ Χριστοῦ ἀπὸ τοῦ Δαβίδ, ὡς ἀπογόνου κατ᾽ ἄνθρωπον ἐξ αὐτοῦ, καὶ ἀπὸ τοῦ Θεοῦ, ὡς Υἱοῦ Αὐτοῦ. Ὡς γνωστόν, αἱ πατριαὶ τῶν Ἑβραίων διετήρουν τοιαύτας γενεαλογίας περὶ τῶν προγόνων αὐτῶν. Ἑρμηνευταὶ τῆς Παλαιᾶς Διαθήκης, ὡς εἰσαγωγῆς ἐν τῇ Καινῇ, ἀκηκοότες αὐτοὶ ἢ μεμαθηκότες παρ᾽ ἄλλων, ἀνελέγοντο ἐν προφορικῷ λόγῳ περὶ τῆς διδασκαλίας, τῶν Παθῶν καὶ τῆς Ἀναστάσεως τοῦ ἐπηγγελμένου Χριστοῦ. Τὰ προφορικὰ ταῦτα ἀνάλεκτα, ἵνα ἀπομνημονεύωνται καὶ ἐπαναλαμβάνωνται, ὡς οἷόν τε, λεκτικῶς ἀναλλοίωτα, ἀπεδόθησαν ἐν παροιμιακῷ ὕφει καὶ ῥυθμῷ. Ἐκ τῶν ἀρχικῶν ἀναλέκτων τούτων προῆλθον τὰ ἅγια Εὐαγγέλια, τὰ τρία συνοπτικὰ καὶ τὸ Εὐαγγέλιον τοῦ Εὐαγγελιστοῦ Ἰωάννου, ὅπερ διασῴζει τὸν θεολογικὸν λόγον τῶν Ἐκκλησιῶν τῆς Μικρᾶς Ἀσίας.

Τὸ Εὐαγγέλιον, οὕτω δημιουργηθέν, οὐδόλως ἔχει σκοπόν, ἵνα καταγράψῃ γεγονότα διὰ τὴν ἱστορίαν, ἀλλ᾽ ἵνα εὐαγγελίσηται τῷ κόσμῳ τὴν διὰ Ἰησοῦ Χριστοῦ σωτηρίαν.

Ἡ χορεία τῶν Ἁγίων τῆς Κυρήνης, ὁ ἱδρυτὴς Ἅγιος, ἔνδοξος Ἀπόστολος καὶ Εὐαγγελιστὴς Μᾶρκος, ὁ Ἅγιος Ἱερομάρτυς Θεόδωρος, οἱ Πατέρες, οἱ Μάρτυρες, οἱ Ὅσιοι, ὁ Ἅγιος, ἔνδοξος Ἀπόστολος, Σίμων ὁ Κυρηναῖος, οἱ υἱοὶ Ἀλέξανδρος καὶ Ροῦφος καὶ ἡ μήτηρ, οἱ γνωστοὶ καὶ οἱ ἄγνωστοι, ἡ χορεία πᾶσα εὐλογεῖ τὴν παλαίφατον Ἐπισκοπὴν Κυρήνης ἀπὸ τῶν ἀδύτων τοῦ Ὑπερῴου τῶν Ὑπερῴων τοῦ Οὐρανοῦ τῶν Οὐρανῶν, τὴν ἀπ᾽ ἀρχῆς οἰκοδομηθεῖσαν καὶ μένουσαν εἰς τοὺς αἰῶνας, τελεσιουργουμένην ἐν τῇ ἄνω Κυρήνῃ ἐν τῇ λειτουργίᾳ τῶν ἀγγέλων καὶ τῶν Ἁγίων.

www.tezaurliturgic.ro

Αἱ πρὸς Κύριον λιταὶ τοῦ Ἁγίου, ἐνδόξου Ἀποστόλου, Σίμωνος, τοῦ Κυρηναίου, τοῦ ἀραμένου τὸν Σταυρὸν τοῦ Κυρίου ἡμῶν, εἴησαν στηριγμὸς καὶ προσδοκία ἐπηγγελμένων ἀγαθῶν τοῖς αἴρουσι τὸν ἑαυτῶν σταυρὸν ἐν τῷ κλύδωνι τοῦ παρόντος κόσμου.

*Ἔγραφον ἐν τῷ ἐν Μόσχᾳ Ἀλεξανδρινῷ Πατριαρχικῷ*
*Μετοχίῳ τῇ δεκάτῃ ὀγδόῃ Ἰανουαρίου,*
*ἑορτῇ τοῦ Μεγάλου Ἀθανασίου,*
*τοῦ σωτηρίου ἔτους 2013*

τοῖς ἐντευξομένοις
διάπυρος πρὸς Κύριον εὐχέτης



† Ὁ Κυρήνης Ἀθανάσιος




XC

www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ

ΑΠΟΣΤΟΛΟΥ

# ΣΙΜΩΝΟΣ
# ΤΟΥ ΚΥΡΗΝΑΙΟΥ



www.tezaurliturgic.ro



# ΑΚΟΛΟΥΘΙΑ
## ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΑΠΟΣΤΟΛΟΥ
# ΣΙΜΩΝΟΣ ΤΟΥ ΚΥΡΗΝΑΙΟΥ

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν Προοιμιακόν, εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους δʹ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια·

Ἦχος αʹ. Πανεύφημοι Μάρτυρες.

Χριστόν, τὸν Σωτῆρα Ἰησοῦν,
ἁμαρτίας αἴροντα
ἡμῶν δι' ἄκραν συμπάθειαν
καὶ ἀγαθότητα,
τὸν ποθοῦντα σῶσαι
γένος ἅπαν βρότειον,
ἐκ βάρους τοῦ Σταυροῦ παραπαίοντα,
πρὸς τὸ ἑκούσιον

πάθος, Σίμων, ὁδηγούμενον,
Κυρηναῖε
τρισμάκαρ, ἐκούφισας.

Χριστοῦ ἐν τῇ ἄρσει ἀρωγὸς
τοῦ Σταυροῦ ἀκούσιος
ὀφθεὶς τὸ πρῶτον, ἑκούσιος
εἶτα Ἀπόστολος
τοῦ Εὐαγγελίου
τοῦ Αὐτοῦ, ἀοίδιμε,
ἐδείχθης, Σίμων, κλέϊσμα πίστεως,
ὁ τοῖς ἱκέταις σου
βοηθῶν σταυρὸν τῶν θλίψεων
ἆραι βίου
παρόντος πρεσβείαις σου.

Ἠγγάρευσαν, Σίμων ἀγαθέ,
τὸν Σταυρὸν τὸν τίμιον
σὲ τοῦ Χριστοῦ ἆραι, πάντιμε,
ἄνερ πολύμοχθε,
στρατιῶται πλάνων
τοῦ δι’ ἀγαθότητα
παθόντος καὶ Σταυρὸν ὑπομείναντος
πρὸς τὸν λεγόμενον
τοῦ κρανίου τόπον, ἔνθεε
Κυρηναῖε,
ἀγάπης ὑπόδειγμα.

Θειότατε Σίμων, ἐξ ἀγροῦ
ἐπιστρέφων ἔμπλεως
ἡμέρας κόπου εἰς οἶκόν σου
τοῦ ἀναπαύοντος
τοὺς πεφορτισμένους
ἠγγαρεύθης μέροπας
Σταυρόν, Κυρίου, ἆραι τὸν τίμιον
πρὸς τόπον, Ἅγιε,
τῆς Αὐτοῦ σεπτῆς σταυρώσεως,
συμπαθείας
πασχόντων ἐκτύπωμα.

Δόξα. Ἦχος β΄.

Τὸν καθαγιασθέντα ὄμβροις αἱμάτων καὶ ἱδρώτων
τοῦ ὁδηγουμένου πρὸς τὸ ἑκούσιον πάθος
Θεανθρώπου Κυρίου,
Σίμωνα τὸν Κυρηναῖον, ὑμνήσωμεν λέγοντες·
Ὁ βοηθὸς τοῦ Ἰησοῦ πρὸς τοῦ κρανίου τόπον
καὶ κῆρυξ τοῦ Αὐτοῦ Εὐαγγελίου ὀφθεὶς διαπρύσιος,
βοήθει καὶ ἡμῖν ἆραι τὸν σταυρὸν τῶν παθῶν καὶ τῶν θλίψεων
καὶ ἀξίωσον πάντας εὐχαῖς σου τυχεῖν τῆς ἀλήκτου μακαριότητος.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν πᾶσαν ἐλπίδα μου
εἰς σὲ ἀνατίθημι,
Μῆτερ τοῦ Θεοῦ·
φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Ἀπόστιχα. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Χαίροις, ὁ τοῦ Σταυροῦ
λαβὼν τὴν θείαν χάριν
καὶ τοῦ Ἐσταυρωμένου
Ὑψίστου Λόγου, Σίμων,
τὴν εὐλογίαν, ἔνθεε.

**Στίχ.** Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ.

Χαίροις, ὁ ἐνεγκὼν
εἰς τοῦ κρανίου τόπον
Σταυρὸν τὸν ζωηφόρον,
Κυρήνης γόνε, Σίμων,
ὁ ὄντως εὐσυμπάθητος.

**Στίχ.** Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Σίμων, σὲ ἐξ ἀγροῦ
ἰδόντες στρατιῶται
ἐρχόμενον Κυρίου

ἠγγάρευσάν σε ἆραι
Σταυρὸν τὸν πανσεβάσμιον.

Δόξα. Τριαδικόν.

Δόξα Σοι, ὁ Θεός,
ὁ πάντων τῶν ἀνθρώπων
τὰς ἁμαρτίας αἴρων,
Τριὰς ὑπεραγία,
σεπτὴ καὶ ὁμοούσιε.

Καὶ νῦν. Θεοτοκίον.

Χαῖρε, Μῆτερ Θεοῦ,
Ἐσταυρωμένου Λόγου,
ἡ σπεύδουσα σοῖς δούλοις
ἐν βίου βοηθῆσαι
δεινοῖς καὶ περιστάσεσι.

Νῦν ἀπολύεις... τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.

# ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν Προοιμιακόν, τὸ Μακάριος ἀνήρ, εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ϛ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια·

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Κυρήνης, Σίμωνα, γόνον,
ἐγκωμιάσωμεν
ὡς Ἀφρικῆς Ἁγίων
εὐωδέστατον ἴον,
εὐφρᾶναν οἰκουμένην πᾶσαν ὀδμαῖς
προσφορᾶς, ταπεινώσεως
καὶ ἀρωγῆς πρὸς τὸν πάσχοντα Ἰησοῦν,
τὸν Σταυρὸν ἐπ᾽ ὤμων αἴροντα.

Τοῦ Ἀλεξάνδρου καὶ Ῥούφου
πατέρα μέλψωμεν,
φιλόπονον ἐργάτην
ἐν Ἱεροσολύμοις
ἀγροῦ, ἀρότρῳ λόγων εἶτα αὐτοῦ
τὸν ψυχὰς γεωργήσαντα
λαοῦ πρὸς βλάστησιν ῥόδων τῆς ἐν Χριστῷ
ἀρετῆς, θεόπνουν Σίμωνα.

Σταυρὸν Χριστοῦ τοῦ Κυρίου
ἐπ' ὤμων ἄραντα
καὶ καθαγιασθέντα
τῶν Αὐτοῦ παναχράντων
αἱμάτων καὶ ἱδρώτων θείων ῥοαῖς
ἀνυμνήσωμεν Σίμωνα,
ὡς ἀρωγὸν Θεοῦ Λόγου, τοῦ δι' ἡμᾶς
σταυρωθέντος, ἐν παθήμασι.

Τὴν σὴν πανίερον μνήμην,
Σίμων ἀοίδιμε,
πανευλαβῶς τελοῦντες
Χριστωνύμων οἱ δῆμοι
τιμῶμεν σοὺς ἱδρῶτας πρὸς τοῦ Χριστοῦ
κουφισμὸν καὶ διάδοσιν
Εὐαγγελίου ἀγάπης Αὐτοῦ σεπτοῦ,
ἁμαρτίας κόσμου αἴροντος.

Βλαστὸν Κυρήνης τὸν θεῖον,
τὸν ἐξανθήσαντα
ἐν Ἱεροσολύμοις
ἄνθη ἀχθοφορίας
πρὸς κούφισιν καμάτων τοῦ Ἰησοῦ
πρὸς τοῦ δρόμου τελείωσιν
τοῦ μαρτυρίου τιμήσωμεν εὐλαβῶς
πάντες, Σίμωνα τὸν πάνσεπτον.

Τὸν ἀκουσίως Κυρίου
Σταυρὸν ἀράμενον

ἐπὶ τῶν ὤμων δεῦτε
Κυρηναῖον ἐν ὕμνοις
τιμήσωμεν εὐτάκτοις δῆμοι πιστῶν
ὡς θειότατον κήρυκα
Εὐαγγελίου ἀγάπης Λόγου Θεοῦ
καὶ εἰρήνης, πάνυ Σίμωνα.

Δόξα. Ἦχος πλ. β΄.

Τὸν ἐξαναγκασθέντα πρῶτον τὸν Σταυρὸν ἆραι τοῦ Κυρίου ἄχρι τοῦ κρανίου τόπου,
ἀλλὰ προθύμως εἶτα κηρύξαντα τὸ Εὐαγγέλιον τῆς ἀγάπης
καὶ Ἀποστόλων γενόμενον ὁμότροπον,
Σίμωνα τὸν Κυρηναῖον, ἐγκωμιάσωμεν οὕτω λέγοντες·
Τοὺς κεκοπιακότας ἐκ τῆς ἐργασίας τῆς ἡμέρας
καὶ πεφορτισμένους ἐκ τῶν παθῶν καὶ τῶν θλίψεων
ἀνάπαυσον τῆς δοθείσης σοι χάριτος πρεσβείαις
πάντας τοὺς τιμῶντας τὴν πανέορτον μνήμην σου,
πάτερ πανίερε καὶ εὐσυμπάθητε.

Καὶ νῦν. Θεοτοκίον.

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε,...

Εἴσοδος. Φῶς ἱλαρόν.

Τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Παροιμιῶν τὸ Ἀνάγνωσμα (Κεφ. δ΄ 10-19).

Ἄκουε, υἱέ, καὶ δέξαι ἐμοὺς λόγους καὶ πληθυνθήσεται ἔτη ζωῆς σου, ἵνα σοι γένωνται πολλαὶ ὁδοὶ βίου· ὁδοὺς γὰρ σοφίας διδάσκω σε, ἐμβιβάζω δέ σε τρο-

χιαῖς ὀρθαῖς. Ἐὰν γὰρ πορεύῃ, οὐ συγκλεισθήσεταί σου τὰ διαβήματα, ἐὰν δὲ τρέχῃς οὐ κοπιάσεις. Ἐπιλαβοῦ ἐμῆς παιδείας, μὴ ἀφῇς, ἀλλὰ φύλαξον αὐτὴν σεαυτῷ εἰς ζωήν σου. Ὁδοὺς ἀσεβῶν μὴ ἐπέλθῃς, μηδὲ ζηλώσῃς ὁδοὺς παρανόμων· ἐν ᾧ ἂν τόπῳ στρατοπεδεύσωσι, μὴ ἐπέλθῃς ἐκεῖ, ἔκκλινον δὲ ἀπ᾽ αὐτῶν καὶ παράλλαξον. Οὐ γὰρ μὴ ὑπνώσωσιν, ἐὰν μὴ κακοποιήσωσιν, ἀφῄρηται ὁ ὕπνος αὐτῶν καὶ οὐ κοιμῶνται· οἵδε γὰρ σιτοῦνται σῖτα ἀσεβείας, οἴνῳ δὲ παρανόμῳ μεθύσκονται. Αἱ δὲ ὁδοὶ τῶν δικαίων ὁμοίως φωτὶ λάμπουσι, προπορεύονται καὶ φωτίζουσιν, ἕως κατορθώσῃ ἡ ἡμέρα· αἱ δὲ ὁδοὶ τῶν ἀσεβῶν σκοτειναί, οὐκ οἴδασι πῶς προσκόπτουσιν.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα (Κεφ. μ΄ 1 -15).

Παρακαλεῖτε, παρακαλεῖτε τὸν λαόν μου, λέγει ὁ Θεός. Ἱερεῖς, λαλήσατε εἰς τὴν καρδίαν Ἱερουσαλήμ, παρακαλέσατε αὐτήν· ὅτι ἐπλήσθη ἡ ταπείνωσις αὐτῆς, λέλυται αὐτῆς ἡ ἁμαρτία· ὅτι ἐδέξατο ἐκ χειρὸς Κυρίου διπλᾶ τὰ ἁμαρτήματα αὐτῆς. Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου. εὐθείας ποιεῖτε τὰς τρίβους τοῦ Θεοῦ ἡμῶν. Πᾶσα φάραγξ πληρωθήσεται καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται, καὶ ἔσται πάντα τὰ σκολιὰ εἰς εὐθεῖαν καὶ ἡ τραχεῖα εἰς ὁδοὺς λείας· καὶ ὀφθήσεται ἡ δόξα Κυρίου, καὶ ὄψεται πᾶσα σάρξ τὸ σωτήριον τοῦ Θεοῦ, ὅτι Κύριος ἐλάλησε. Φωνὴ λέγοντος· βόησον· καὶ εἶπα· τί βοήσω; πᾶσα σάρξ χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρ-

του· ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος ἐξέπεσε, τὸ δὲ ρῆμα τοῦ Θεοῦ ἡμῶν μένει εἰς τὸν αἰῶνα. Ἐπ᾽ ὄρος ὑψηλὸν ἀνάβηθι, ὁ εὐαγγελιζόμενος Σιών· ὕψωσον ἐν ἰσχύϊ τὴν φωνή σου, ὁ εὐαγγελιζόμενος Ἱερουσαλήμ· ὑψώσατε, μὴ φοβεῖσθε· εἰπὸν ταῖς πόλεσιν Ἰούδα· ἰδοὺ ὁ Θεὸς ὑμῶν. Ἰδοὺ Κύριος Κύριος μετὰ ἰσχύος ἔρχεται καὶ ὁ βραχίων μετὰ κυρίας· ἰδοὺ ὁ μισθὸς αὐτοῦ μετ᾽ αὐτοῦ καὶ τὸ ἔργον ἐναντίον αὐτοῦ. Ὡς ποιμὴν ποιμανεῖ τὸ ποίμνιον αὐτοῦ καὶ τῷ βραχίονι αὐτοῦ συνάξει ἄρνας καὶ ἐν γαστρὶ ἐχούσας παρακαλέσει. Τίς ἐμέτρησε τῇ χειρὶ τὸ ὕδωρ καὶ τὸν οὐρανὸν σπιθαμῇ καὶ πᾶσαν τὴν γῆν δρακί; Τίς ἔστησε τὰ ὄρη σταθμῷ καὶ τὰς νάπας ζυγῷ; Τίς ἔγνω νοῦν Κυρίου, καὶ τίς αὐτοῦ σύμβουλος ἐγένετο, ὃς συμβιβᾷ αὐτόν; Ἢ πρὸς τίνα συνεβουλεύσατο καὶ συνεβίβασεν αὐτόν; Ἢ τίς ἔδειξεν αὐτῷ κρίσιν; Ἢ ὁδὸν συνέσεως τίς ἔδειξεν αὐτῷ; Εἰ πάντα τὰ ἔθνη ὡς σταγὼν ἀπὸ κάδου καὶ ὡς ροπὴ ζυγοῦ ἐλογίσθησαν καὶ ὡς σίελος λογισθήσονται.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. γ΄ 1- 9).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα, οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς

ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτῷ συνήσουσιν ἀλήθειαν καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

Ἰδιόμελα.

Ἦχος α´.

Τὸν ἄραντα τὸν Σταυρὸν τοῦ Σωτῆρος Χριστοῦ
ἐπὶ τῇ τοῦ Γολγοθᾶ ἀναβάσει,
Σίμωνα τὸν Κυρηναῖον, εὐφημήσωμεν
ὡς εὐαγγελισθέντα τὴν Ἐσταυρωμένην ἀγάπην τῇ κτίσει
ἐν εὐλαβείᾳ κραυγάζοντες·
Ὁ ἐπιδείξας σπλάγχνα οἰκτιρμῶν τοῖς κεκοπιακόσι
καὶ ἐλθὼν ἀρωγὸς τοῦ Κυρίου
τῇ ἐπιτελέσει τῆς Αὐτοῦ πρὸς σωτηρίαν ἡμῶν οἰκονομίας,
βοήθει τοῖς εὐφημοῦσι τὴν προσφορὰν τῆς συμπαθείας σου
καὶ τὴν ὑπέρτιμον ἑορτάζουσι μνήμην σου.

Ἦχος β´.

Τὴν σὴν ἀκούσιον προσφορὰν καὶ διακονίαν,
Σίμων Κυρηναῖε, ὁ Κύριος λογισάμενος

ἑκουσίαν συμπάθειαν ἠξίωσέ σε
Ἀποστόλων βαδίσαι τρίβους
καὶ κηρῦξαι τὸ Εὐαγγέλιον τῆς ἀγάπης
τοῖς ἐν σκιᾷ ἐμπαθείας καθεύδουσιν·
ὅθεν ἡμεῖς τὴν μνήμην σου ἑορτάζοντες
ὡς σταυροφόρον καὶ πνευματοφόρον ἄνδρα ὑμνοῦμέν σε,
τὸν ἀκλινῶς δυσωποῦντα Κύριον ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος γ΄.

Τὸν ἁγιασθέντα διὰ τῶν ὄμβρων τοῦ Κυρίου αἱμάτων
καὶ Αὐτοῦ τῶν ὀχετῶν τῶν ἱδρώτων
ἐπὶ τῇ ἄρσει τοῦ ζωηφόρου Ξύλου,
Σίμωνα ὑμνήσωμεν τὸν Κυρηναῖον,
καὶ αὐτῷ φωναῖς αἰσίαις εἴπωμεν·
Ἁγίασον ἡμᾶς ῥεύμασιν εὐχῶν σου ἀδιαλείπτων
πρὸς τὸν δι’ ἡμᾶς παθόντα καὶ σταυρωθέντα Κύριον
καὶ τῆς σὺν σοὶ χαρᾶς σοὺς ἱκέτας ἀξίωσον
ἐν τῇ ἀλήκτῳ μακαριότητι.

Ἦχος δ΄.

Σὲ τὸν τοῦ Ἀλεξάνδρου καὶ Ῥούφου πατέρα,
ὃν ἐπιστρέφοντα ἐκ τοῦ ἀγροῦ στρατιῶται ἠγγάρευσαν
ἆραι τὸν Σταυρὸν τοῦ Κυρίου,
Σίμων, ἐκ τῆς Κυρήνης ὁρμώμενε, τιμῶμεν
ὡς ἔμπλεων σπλάγνων οἰκτιρμῶν καὶ ἐλέους
οὕτω λέγοντες·

Κατάπεμψον ἡμῖν εὐχαῖς σου ἀσιγήτοις
πρὸς τὸν ἐσταυρωμένον Θεάνθρωπον Κύριον
Αὐτοῦ τὸ πλῆθος τῶν οἰκτιρμῶν καὶ τὸ ἄμετρον ἔλεος.

Δόξα. Ὁ αὐτός.

Τὸν φιλοπόνως ἐν τῷ ἰδίῳ ἀγρῷ ἐργαζόμενον
καὶ ἀκάματον ἐποφθέντα ἐργάτην τοῦ ἀμπελῶνος Κυρίου,
Σίμωνα τὸν Κυρηναῖον, εὐφημήσωμεν
ὡς καθαγιασθέντα τῇ τοῦ Τιμίου Σταυροῦ χάριτι,
ὃν ἦρεν ἐπωμάδιον ἄχρι τοῦ κρανίου τόπου,
εὐλαβῶς κραυγάζοντες·
Σταυροφόρε, δοῦλε ἀγαθὲ καὶ πιστὲ τοῦ Κυρίου,
ὁ τρίβοις ἀκολουθήσας τῶν θεοπνεύστων Ἀποστόλων,
ἀξίωσον καὶ ἡμᾶς Χριστὸν εὐαγγελίζεσθαι
τοὺς ἑορτάζοντας πόθῳ τὴν ἁγίαν μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον.
Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου...

Εἰς τὸν Στίχον. Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. α΄. Χαίροις, ἀσκητικῶν.

Χαίροις, ὁ τῆς Κυρήνης βλαστός,
ὃν στρατιῶται βασιλέως ἠγγάρευσαν
τὰ σπλάγχνα σου κατιδόντες
τῶν οἰκτιρμῶν πρὸς Χριστόν,
φέροντα ἐπ᾽ ὤμων
Ξύλον πάνσεπτον

καὶ στέφος ἀκάνθινον
ἐπ᾽ Αὐτοῦ τὴν ἀκήρατον
καὶ σεβασμίαν
κεφαλὴν καὶ ἰθύνοντα
Τούτου βήματα
Γολγοθᾶν πρὸς σωτήριον,
ἵνα Σταυρὸν τὸν τίμιον
Αὐτοῦ παραπαίοντος
ἄρῃς ἐπὶ ἀναβάσει
κρανίου λόφου, φιλεύσπλαγχνε
καὶ πάντιμε Σίμων,
οἰκιστὰ τοῦ Παραδείσου
ἀξιοθαύμαστε.

Στίχ. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ.

Χαίροις, ἱεροκῆρυξ σεπτέ,
τῶν Ἀποστόλων τοῦ Χριστοῦ ἰσοστάσιος,
ὁ πρῶτος τῶν Κυρηναίων
Εὐαγγελίου αὐγαῖς
θείαις φωτισάντων
Ἀντιόχειαν
καὶ κόσμου τὰ πέρατα,
Σίμων, πάτερ ἀοίδιμε·
σοῦ γὰρ ἡ χάρις
Παρακλήτου διήνοιξε,
μάκαρ, ὄμματα
τῆς ψυχῆς, ἐπωμάδιον

ὅτε Σταυρὸν ἐβάστασας
τοῦ Λόγου τοῦ Κτίσαντος,
γνῶναι Αὐτόν, Φῶς τοῦ κόσμου,
Ζωὴν παντὸς καὶ Ἀλήθειαν,
καὶ πάντας φωτίσαι
ἐν ζοφώδει ἀγνωσίας
σκιᾷ καθεύδοντας.

Στίχ. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Μνήμην ἐπιτελοῦντες τὴν σὴν
μελισταγέσιν ἐν ᾠδαῖς, Σίμων πάνσοφε,
Ἀπόστολε Κυρηναῖε,
τῆς συμπαθείας εἰκών,
μεγαλύνομέν σε
ὡς οἰκήτορα
λαμπρὸν ἄνω πόλεως
καὶ βοῶμεν· Θειότατε,
Ὃν στρατιῶται
βασιλέως ἠγγάρευσαν
ἆραι Κτίσαντος
τὸν Σταυρὸν τὸν πανάγιον
πρὸς Γολγοθᾶν τὸν πάνσεπτον,
βοήθει σοῖς πρόσφυξιν
ἆραι σταυρὸν ἀλγηδόνων,
χαμαιζηλίας καὶ θλίψεων
καὶ φθάσαι εἰς δόμους
ὑπερφώτους ἀϊδίου
μακαριότητος.

Δόξα. Ἦχος πλ. δ΄.

Προθύμως τιμήσωμεν πάντες
τὸν εὐγεώργητον ἔχοντα καρδίαν ἀγρότην Κυρηναῖον,
Σίμωνα τὸν θεόλεκτον, ὡς πηγὴν εὐσεβείας καὶ χάριτος·
οὗτος γὰρ ἐκ τοῦ ἀγροῦ ἐρχόμενος
καὶ ὑπαντήσας Κυρίῳ πάσχοντα ἐκ τοῦ Σταυροῦ τῆς ἄρσεως
Αὐτὸν ἀνεκούφισεν σεπτῇ διακονίᾳ
καὶ τὸν Σταυρὸν ἦρεν ἄχρι τοῦ κρανίου τόπου,
ἐν ᾧ οἱ στρατιῶται παρέδωκαν Αὐτὸν εἰς τὸ σταυρῶσαι·
καὶ νῦν τῷ ἐγηγερμένῳ ἐκ νεκρῶν Θεοῦ Λόγῳ παριστάμενος
ἀδιαλείπτως Αὐτῷ πρεσβεύει ὑπὲρ εἰρήνης τοῦ κόσμου
καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον. Δέσποινα, πρόσδεξαι...

Νῦν ἀπολύεις....τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.

Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Ἀλεξάνδρου καὶ Ῥούφου πατέρα φίλεργον,
ὅνπερ ἠγγάρευσε δῆμος
στρατιωτῶν τὸν Σταυρὸν
ἆραι Λόγου τοῦ Παντάνακτος, τιμήσωμεν,
ἄχρι τοῦ λόφου Γολγοθᾶ,
Κυρηναῖον, ἐξ ἀγροῦ
ἐρχόμενον, ἐκβοῶντες·
Σίμων, σεπτὲ χριστοκῆρυξ,
ἡμῖν βοήθει, τοῖς τιμῶσί σε.

Θεοτοκίον. Χαῖρε, πύλη Κυρίου ἡ ἀδιόδευτος...

Ἀπόλυσις.

# ΕΝ ΤΩ ΟΡΘΡΩ

Μετὰ τὸν Ἑξάψαλμον τὸ Ἀπολυτίκιον, ὡς ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ, μετὰ δὲ τὴν α΄ Στιχολογίαν Κάθισμα.

Ἦχος α΄. Τὸν τάφον Σου, Σωτήρ.

Ἀράμενος Σταυρὸν
ζωηφόρον Κυρίου
ἐπ᾽ ὤμων τὴν ὁδὸν
τοῦ Αὐτοῦ μαρτυρίου,
πανεύφημε, ἤνυσας
καὶ κατεῖδες σταυρούμενον
ἐκπληττόμενος
τὸν ἀγαθὸν Θεοῦ Λόγον,
Σίμων Ἅγιε,
ἐν Γολγοθᾷ δι᾽ ἀγάπην,
Κυρήνης ἐκβλάστημα.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Ἀξίωσον πιστοὺς
ἀγογγύστως ἐπαίρειν
σταυρὸν τοῦ σοῦ Υἱοῦ,
Λόγου ἐσταυρωμένου
Θεοῦ τοῦ Παντάνακτος,
ὑπερύμνητε Δέσποινα,

εὐσυμπάθητε,
ἡ κατιδοῦσα ἀσπλάγχνως
Τόκον πάσχοντα
τὸν σὸν σεπτὸν ὑπ' ἀνόμων
καὶ Ξύλῳ σταυρούμενον.

Μετὰ τὴν β' Στιχολογίαν Κάθισμα.

Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Πανεύφημον Σίμωνα,
Κυρήνης θεῖον βλαστόν,
Σταυρὸν τὸν ἀράμενον
Χριστοῦ, τοῦ Λόγου Θεοῦ,
σεπτῶς ἀνυμνήσωμεν
κράζοντες· Σταυροφόρε
χριστοκῆρυξ, ὁ κλῆσιν
πάσῃ τῇ γῇ κηρύξας
Ἰησοῦ τοῦ εὐσπλάγχνου,
ἱλέωσαι Αὐτὸν ἀκλινῶς
τοῖς μελῳδοῦσί σε.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Ὑπέραγνε Δέσποινα,
Μῆτερ Χριστοῦ τοῦ Θεοῦ,
διάλυσον ζόφωσιν
χαμαιζηλίας παθῶν
τῶν μακαριζόντων σε,
ἄχραντε Παναγία,

ὡς πηγὴν σωτηρίας
πάντων τῶν Χριστωνύμων
καὶ φανὸν συμπαθείας
πρὸς πάσχοντας, ἀλγοῦντας δεινῶς,
οἴμοι, καὶ στένοντας.

Μετὰ τὸν Πολυέλεον Κάθισμα. Ἦχος γ΄. Τὴν ὡραιότητα.

Δεῦτε τιμήσωμεν ψαλμοῖς καὶ ᾄσμασι
πιστῶν οἱ σύλλογοι τὸν εὐσυμπάθητον
Κυρήνης τῆς ἐν Ἀφρικῇ καὶ πάνσεπτον γόνον πόθῳ
ὡς διακονήσαντα τῷ Χριστῷ τῷ οἰκτίρμονι
καὶ Αὐτοῦ ἐπάραντα τὸν Σταυρὸν ἐπωμάδιον
ψυχῆς ἐν κατανύξει βοῶντες· Χαῖρε, δεδοξασμένε Σίμων.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Τὴν σκοτισθεῖσάν μου ψυχὴν καταύγασον
φωτὶ τῆς χάριτος τοῦ θείου Τόκου σου,
ἁγνὴ Παρθένε, Μαριάμ, ἐλπὶς τῶν ἀπηλπισμένων,
καὶ ἀχλὺν ἀπέλασον τῶν ἀπείρων πταισμάτων μου,
ὅπως εὕρω ἔλεος ἐν τῇ ὥρᾳ τῆς Κρίσεως
καὶ πόθῳ ἀσιγήτως βοῶ σοι· Χαῖρε, ἡ Κεχαριτωμένη.

Τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου καὶ τὸ Προκείμενον.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ...

Στίχ. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Εὐαγγέλιον· κατὰ Λουκᾶν (Κεφ. ιβ΄ 8 -12 ).

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Πᾶς ὃς ἂν ὁμολογήσῃ...

Ζήτει τῇ στ΄ Νοεμβρίου.

Ὁ Ν΄ Ψαλμός.

Δόξα. Ταῖς τοῦ Ἀποστόλου πρεσβείαις, Ἐλεῆμον,..

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον,..

Ἰδιόμελον. Ἦχος πλ. β΄.

Στίχ. Ἐλεῆμον, ἐλέησόν με, ὁ Θεός,
κατὰ τὸ μέγα ἔλεός Σου καὶ κατὰ τὸ πλῆθος
τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Τὸν τοῖς ἐγγὺς καὶ μακρὰν Ἱεροσολύμων εὐαγγελισάμενον τὴν ἐνεργὸν ἀγάπην καὶ ἀστασίαστον εἰρήνην, Σίμωνα τὸν Κυρηναῖον, εὐφημήσωμεν οὕτω λέγοντες· Σταυροφόρε Ἀπόστολε, ὁ τὸν Σταυρὸν τοῦ Χριστοῦ ἀράμενος καὶ διακονήσας τῷ πάσχοντι δι᾽ ἀγαθότητα Θεοῦ Λόγῳ, τῷ Σταυρὸν ἑκουσίως καὶ θάνατον καταδεξαμένῳ, ἐκτενῶς Αὐτὸν δυσώπει ὑπὲρ τῶν τιμώντων τὴν λαμπρὰν καὶ πανέορτον μνήμην σου.

Σῶσον, ὁ Θεός, τὸν λαόν Σου....

Εἶτα ὁ Κανὼν τοῦ Ἀποστόλου, οὗ ἡ Ἀκροστιχίς·
«Σίμωνος Κυρηναίου μολπή. Χαραλάμπους.»

Ὠδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.

Σταυρὸν τὸν πανάγιον
Θεοῦ τοῦ Λόγου τὸν ἄραντα
τιμήσωμεν Σίμωνα,
Κυρήνης γόνον κλυτόν,

ὕμνοις πρέπουσιν
ἐπὶ τῇ ἀναβάσει
Αὐτοῦ εἰς σταυρώσεως
τόπον τὸν πάνσεπτον.

Ἱλέωσαι Κύριον,
Οὗ τὸν Σταυρὸν τὸν πανίερον
ἐπ’ ὤμων σου ἔλαβες,
Σίμων, Κυρήνης βλαστέ,
τοῖς τιμῶσί σε
λαμπρῶς καὶ ἐκτελοῦσι
τὴν πάνσεπτον μνήμην σου,
ἄνερ θειότατε.

Μακάρων σὺν τάξεσιν
ἐν οὐρανίοις σκηνώμασιν
εὐφραίνῃ ἀείποτε
Σταυρὸν Χριστοῦ τοῦ Θεοῦ
ὡς ἀράμενος
πρὸς τοῦ κρανίου τόπον,
ἐν ᾧ κόσμου λύτρωσις,
Σίμων, ἐβλάστησεν.

Θεοτοκίον.

Ὡραΐσον δούλων σου
τὴν βιοτὴν σαῖς δεήσεσι
πρὸς ἄχραντον Τόκον σου,
Θεογεννῆτορ σεμνή,

τὸν παρέχοντα
πιστοῖς Αὐτοῦ ἐλέη
ἀφθόνως τοῖς μέλπουσι
τὰ μεγαλεῖά σου.

Ὠδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους.

Νῦν ὕμνοις γεραίροντες σὴν μνήμην
τὴν πάνσεπτον, Σίμων ἱερέ,
σὴν χάριν ἐξαιτούμεθα,
ἣν δαψιλῶς ἀπέλαβες
παρὰ Χριστοῦ, ἐπ' ὤμων σου
Οὗ τὸν Σταυρὸν ἦρας, ἔνθεε.

Ὁδὸν μαρτυρίου τοῦ Σωτῆρος
διήνυσας φέρων τὸν Σταυρὸν
Αὐτοῦ ἐπ' ὤμων, Ἅγιε,
ἄχρι τοῦ τῆς σταυρώσεως
τόπου Αὐτοῦ, ἀοίδιμε,
Κυρήνης γόνε θειότατε.

Σταυρὸν τοῦ Κυρίου, Σίμων μάκαρ,
ἀράμενος πρὸς τὸν Γολγοθᾶν
καθηγιάσθης, ἔνδοξε,
Αὐτοῦ αἱμάτων χεύμασι
καὶ τῶν ἱδρώτων ῥεύμασι,
πάτερ ἡμῶν θεοβράβευτε.

Θεοτοκίον.

Κακίας ἀπάλλαξον σοὺς δούλους
καὶ πάντων παθῶν φθοροποιῶν
τοὺς σπεύδοντας ἀείποτε
τῇ θείᾳ προστασίᾳ σου
καὶ ἀρωγῇ καὶ χάριτι,
Θεοχαρίτωτε Δέσποινα.

Κάθισμα. Ἦχος γʹ. Θείας πίστεως.

Δεῦτε Σίμωνα τὸν Κυρηναῖον,
ὃν ἠγγάρευσαν οἱ στρατιῶται
βασιλέως χοϊκοῦ ἐπωμάδιον
ἆραι Σταυρὸν τοῦ Χριστοῦ, εὐφημήσωμεν,
πρὸς Γολγοθᾶν, ὡς φωσφόρον Ἀπόστολον,
τὸν κηρύξαντα τὴν πίστιν εἰς Ἀντιόχειαν
τοῦ μόνου πανοικτίρμονος Παντάνακτος.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Μεγαλύνωμεν φωναῖς εὐήχοις
τὴν οἰκτίρουσαν καὶ ἐλεοῦσαν
καθ᾿ ἑκάστην τῶν βροτῶν τὰ συστήματα
Θεογεννήτριαν πάντες γηθόμενοι
οἱ ἀνυμνοῦντες τὸν εὔσπλαγχνον Σίμωνα
καὶ δοξάζοντες αὐτῆς τὸν Υἱὸν τὸν ἅγιον,
Χριστόν, τὸν εὐσυμπάθητον Θεάνθρωπον.

Ὠδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ.

Ὑμνῳδίαις σε τιμῶμεν,
Κυρηναῖον τὸν εὔσπλαγχνον,
εὐλαβῶς βοῶντες·
Σίμων, ὡς κατεῖδες τὸν Κύριον
ὑπὸ τοῦ βάρους τοῦ Ξύλου παραπαίοντα
συνεπάθησας
Αὐτῷ, τῷ μόνῳ οἰκτίρμονι.

Ῥούφου τε καὶ Ἀλεξάνδρου
πάτερ, Σίμων μακάριε,
τῶν χριστοκηρύκων,
ἔθνεσι Χριστὸν ὡμολόγησας,
Οὗ τὸν Σταυρὸν ἠναγκάσθης τὸν ζωήῤῥυτον
ἐπωμάδιον
ἆραι πρὸς τόπον σταυρώσεως.

Ἡ χορεία Χριστωνύμων,
Σίμων, νῦν μεγαλύνει σε
ὡς τοῦ κατακρίτου
Ἰησοῦ, παθόντος δι᾽ ἄφατον
ἀγάπην καὶ ἀγαθότητα ἀμέτρητον,
ἀντιλήπτορα
καὶ βοηθὸν εὐσυμπάθητον.

Θεοτοκίον.

Νεῦσον ταῖς θερμαῖς σῶν δούλων
παρακλήσεσι, Δέσποινα,

παύουσα κινήσεις
τῆς σαρκὸς ἡμῶν, Μητροπάρθενε·
σὺ γὰρ ὑπάρχεις ἡμῶν βροτείας φύσεως,
παντευλόγητε
Θεοκυῆτορ, διάσωσμα.

Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.

Ἀγάπης πληρούμενος
πρὸς πάντα ἐμπερίστατον,
Σίμων Κυρηναῖε, ἠξιώθης
Κυρίου ἆραι
πρὸς Γολγοθᾶν τὸν Σταυρὸν
καὶ οὕτω γενέσθαι συνεργὸς
Τούτου ἐν τοῖς πάθεσι
πρὸς βροτῶν ἀπολύτρωσιν.

Ἱλάσθητι ἅπασι
πιστῶς ἀνευφημοῦσί σε,
Σίμων Κυρηναῖε, ἐν τῷ πόλῳ
Χριστοῦ εὐκλείας
τῆς θεϊκῆς ἀληθῶς
ὁ μέτοχος, Οὗπερ τὸν Σταυρὸν
ἦρας, τρισμακάριστε,
Γολγοθᾶν πρὸς τὸν πάνσεπτον.

Ὀυράνιε ἄνθρωπε,
τὸν σὸν ἀγρὸν κατέλιπες,
ὅτε συνεργὸς ἦλθες Κυρίου

Σταυροῦ εἰς ἆρσιν
πρὸς Γολγοθᾶν, καὶ ἀγροὺς
ἐπίανας λόγων σου ψυχῶν
τοῖς ἱδρῶσιν, ἔνθεε
Σίμων, θεομακάριστε.

Θεοτοκίον.

Ὑμνοῦντές σε, Δέσποινα,
χαρᾶς ἡμῶν ὡς πρόξενον
καὶ ἀλεξιτήριον τῆς λύπης
τῶν καθ' ἑκάστην
μεγαλυνόντων πιστῶς
πληθὺν θαυμασίων σου, ἁγνή,
Μῆτερ εὐσυμπάθητε
Ἰησοῦ πανοικτίρμονος.

Ὠδὴ στ΄. Τὴν θείαν ταύτην.

Μακάρων, Σίμων ἀοίδιμε,
χοροῖς συνηριθμήθης ἐν δώμασι
θείας λαμπρότητος
ὡς ἀληθῶς εὐσυμπάθητος
ἀξιωθεὶς ἐπᾶραι
Σταυρὸν τον Τίμιον.

Ὁδὸν ἀνέβης ἀπάγουσαν
κρανίου πρὸς τὸν τόπον ἐπ' ὤμων σου
φέρων τὸν Τίμιον
Χριστοῦ Σταυρόν, Σίμων Ἅγιε,

τὸ πάθος ἐλαφρύνων
Αὐτοῦ τὸ πάνσεπτον.

Λειμὼν ἀγάπης πανεύοσμος
καὶ ἄκρας συμπαθείας καρδία σου
ὤφθη ἐκχέουσα
πᾶσιν ὀδμὰς ἁγιότητος,
ἡγιασμένε Σίμων,
πυξίον πίστεως.

Θεοτοκίον.

Παρθένε, δούλων σου σπόγγισον
δακρύων τὰς ῥανίδας, ἐν ᾄσμασι
μεγαλυνόντων σε,
ὡς Θεοτόκον πανύμνητον,
ἐν κόλποις φιλοστόργως
Χριστὸν βαστάζουσαν.

Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.

Βλαστὸν Κυρήνης, στρατιῶται ὃν ἠγγάρευσαν
ἐκ τοῦ ἀγροῦ αὐτοῦ ἐρχόμενον τοῦ Κτίσαντος,
Θεοῦ Λόγου τοῦ Ὑψίστου, Σταυρὸν ἐπᾶραι
ἄχρι λόφου Γολγοθᾶ, ἐγκωμιάσωμεν
σταυροφόρον, χριστοκήρυκα ὡς ἄμεμπτον,
πόθῳ κράζοντες· Χαίροις, Σίμων ἀοίδιμε.

## Ὁ Οἶκος.

Ἄγγελος σαρκοφόρος
ἀπεστάλης κουφίσαι
Χριστὸν ἐκ τοῦ Σταυροῦ βάρους, Σίμων,
Κυρηναῖε σεπτέ, ἀτραποὺς
ὁ τῶν Ἀποστόλων εἶτα γηθόμενος
βαδίσας καὶ τὰ στόματα
ἀνοίξας εὐσεβῶν βοῆσαι·
Χαῖρε, Κυρήνης ὁ θεῖος γόνος·
χαῖρε, ἀπάτης ἐχθίστου μένος.
Χαῖρε, Ἀλεξάνδρου πατὴρ ἐνθεώτατος·
χαῖρε, θείου Ῥούφου γεννήτωρ σεμνότατος.
Χαῖρε, ὅτι διηκόνησας Θεανθρώπῳ Ἰησοῦ·
χαῖρε, ὅτι διεκήρυξας Εὐαγγέλιον Αὐτοῦ.
Χαῖρε, τῆς εὐσπλαγχνίας τιμαλφὴς μαργαρίτης·
χαῖρε, τῆς εὐσεβείας εὐκλεὴς στρατιώτης.
Χαῖρε, ἰκμὰς ψυχῆς ἱλαρότητος·
χαῖρε, ψεκὰς ἀγάπης τοῦ Κτίσαντος·
Χαῖρε, ἀνὴρ ἀληθῶς σταυροφόρος·
χαῖρε, λαμπτὴρ προσφορᾶς φωτοφόρος·
Χαίροις, Σίμων ἀοίδιμε.

Καὶ ἀναγιγνώσκεται τὸ Μηνολόγιον τῆς ἡμέρας, ἤτοι τῆς ΚΖ΄ Φεβρουαρίου· εἶτα λέγομεν.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἐν Ἁγίοις πατρὸς ἡμῶν Σίμωνος τοῦ Κυρηναίου.

## Στίχοι.

Σταυρὸν Χριστοῦ ἀράμενος, Σίμων μάκαρ,
χριστοφόρος γέγονας λελαμπρυσμένος.

## Συναξάριον.

Ὁ ἐν Ἁγίοις Πατὴρ ἡμῶν Σίμων ὁ Κυρηναῖος κατήγετο ἐκ τῆς ἐν Λιβύῃ Κυρήνης, ἔνθα κατὰ τὴν μαρτυρίαν τοῦ Ἰωσήπου πολλοὶ ἔζων Ἰουδαῖοι, οἵτινες μετέβαινον εἰς Ἱεροσόλυμα καὶ ἀποκαθίσταντο ἐκεῖσε. Αὐτόν, τὸν πατέρα τῶν εὐσήμων, Ἀλεξάνδρου καὶ Ῥούφου, εὑρόντες οἱ στρατιῶται ἐν τῇ ὁδῷ τοῦ μαρτυρίου τοῦ Θεανθρώπου Ἰησοῦ ἐρχόμενον ἐκ τοῦ αὐτοῦ ἀγροῦ ἠγγάρευσαν ἆραι τὸν Σταυρὸν Ἐκείνου, ὄντως κεκοπιακότος, ἄχρι τοῦ Γολγοθᾶ.

Ὁ Ἅγιος Σίμων, ὁ καθηγιασμένος ἐκ τῶν ἀχράντων αἱμάτων καὶ τῶν τιμίων ἱδρώτων τοῦ Κυρίου Ἰησοῦ καὶ ῥωσθεὶς τῇ χάριτι τοῦ Ζωοποιοῦ Σταυροῦ, Ἀποστόλων τρίβοις ἐν Ἀντιοχείᾳ καὶ ἄλλαις πόλεσιν ἠκολούθησε· διὸ καὶ στέφος δόξης ἀϊδίου εἴληφεν ἐκ τῶν εὐγνωμόνων τοῦ πανοικτίρμονος Θεανθρώπου χειρῶν, διὰ τὰ πρὸς Αὐτὸν ἐπιδειχθέντα ὑπὸ τοῦ μακαρίου Σίμωνος οἰκτιρμῶν σπλάγχνα.

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, Χριστέ, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ΄. Οὐκ ἐλάτρευσαν.

Ἡλιόμορφος
Ἀπόστολος γεγένησαι,
Σίμων μακάριε,
Ἡλίου τοῦ νοητοῦ,
Χριστοῦ, Οὗ ἐβάστασας
Σταυρὸν τὸν τίμιον
καὶ τὸ πάνσεπτον
καὶ θεῖον Εὐαγγέλιον
Οὗ ἐκήρυξας τῇ κτίσει.

Χάριν εἴληφας
θεόθεν, Σίμων, ἄφθονον
ὡς ἰσαπόστολος
καὶ σταυροφόρος βροτός,
Σταυρὸν ὁ ἀράμενος
Χριστοῦ τὸν τίμιον
καὶ τοῦ βίου σου
σταυρὸν ἐκθύμως, Ἅγιε,
καὶ Χριστῷ ἀκολουθήσας.

Ἄκων ἔλαβες
τὸ Ξύλον ἐπωμάδιον
Σταυροῦ τὸ Ἅγιον
ἄχρι φρικτοῦ Γολγοθᾶ
τοῦ τόπου, Ἀπόστολε
Σίμων μακάριε,

κλῆσιν πάνσεπτον
Αὐτοῦ ἑκὼν τοῖς πέρασιν
οἰκουμένης ὁ κηρύξας.

Θεοτοκίον.

Ῥῦσαι θλίψεων
ἡμᾶς δεινῆς κακώσεως
καὶ τοῦ ἀλάστορος
τῆς ἐπηρείας, ἁγνή,
τοὺς σὲ μεγαλύνοντας,
Θεογεννήτρια,
ὡς ἀντίληψιν
ἑτοίμην καὶ βοήθειαν
τῶν τιμώντων σε μερόπων.

Ὠδὴ η΄. Παῖδας εὐαγεῖς.

Ἄγγελος ὠράθης φωτοφόρος
ἐν ὥρᾳ Χριστοῦ τοῦ πάθους, Σίμων ἔνθεε,
Κυρηναῖε φίλεργε
ἄνερ καὶ φιλεύσπλαγχνε,
ἀναλαβὼν ἐπ᾽ ὤμων σου
Σταυρὸν τὸν τίμιον
ἐπὶ τοῦ Γολγοθᾶ ἀναβάσει
τοῦ ἀλγοῦντος Λόγου
Θεοῦ Ὑψίστου, πάτερ.

Λάμψας, Σίμων, ἄστρον ὡς πυρφόρον
Χριστοῦ, τοῦ Ἐσταυρωμένου Λόγου πίστεως
τῆς ὑπηρεσίας σου
πρὸς Αὐτὸν πυρσεύμασι
καὶ ἀστραπαῖς κηρύγματος
τοῦ σοῦ ἐφώτισας
λαοὺς τοὺς ἐν σκιᾷ καθημένους
ἀγνωσίας, πάτερ,
Κυρήνης μέγα κλέος.

Αἴρειν τὸν σταυρὸν ἡμῶν ἐκθύμως
τῶν πόνων, τῶν ἀλγηδόνων καὶ τῶν θλίψεων
πάντας καταξίωσον
τοὺς ἀνευφημοῦντάς σε
ὡς σταυροφόρον Ἅγιον,
Σίμων θεσπέσιε,
ἠπείρου Ἀφρικῆς κοσμιότης,
ὁ βαδίσας τρίβους
ἀρίστας Ἀποστόλων.

Θεοτοκίον.

Μῆτερ τοῦ Θεοῦ εὐλογημένη,
ἐπόπτευε οὐρανόθεν καὶ ἁγίαζε
πάντας μεγαλύνοντας
πλῆθος θαυμασίων σου
καὶ σὸν Υἱὸν δοξάζοντας
τὸν πολυεύσπλαγχνον,

ἐξ ἄλγους Ὃν ἐκούφισε Σίμων
ἄρσεως τοῦ Ξύλου
Σταυροῦ τοῦ ζωηφόρου.

Ὠδὴ θ΄. Ἅπας γηγενής.

Πίστεως Χριστοῦ
σεπτὸν ἐγκαλλώπισμα,
Σίμων Ἀπόστολε,
Ἀλεξάνδρου ἔμφρονος
καὶ Ῥούφου πάτερ σεμνὲ καὶ φίλεργε,
τὸ ὑπὲρ πᾶν ἐκήρυξας
Κυρίου ὄνομα
τοῖς κειμένοις
ἐν σκιᾷ φθαρτότητος
καὶ ῥεούσης ζωῆς, παναοίδιμε.

Ὄλβε τιμαλφὲς
Χριστοῦ θείας πίστεως,
Σίμων, ἐκόσμησας
δῆμον τὸν οὐράνιον,
ὑποδεξάμενον σὴν χρηστότητα
ἐν Ἄνω Πόλει, πάνσοφε,
κῆρυξ τῆς χάριτος
σταυροφόρε,
ὁ καθιλεούμενος
τοῖς θερμοῖς σου ἱκέταις τὸν Κύριον.

Ὕμνοις ἱεροῖς
ἑκάστοτε μέλπομεν
τὴν σὴν βοήθειαν,
Σίμων παναοίδιμε,
πρὸς τοῦ Ὑψίστου Λόγον τὸν πάνσεπτον,
τὸν ἀγογγύστως αἴροντα
Σταυρὸν τὸν Τίμιον,
Κυρηναῖε,
προσφορᾶς πρὸς Κύριον,
τὸν Θεάνθρωπον, λύχνε ἀείφωτε.

Θεοτοκίον.

Σῶσον ἐκ φθορᾶς,
κινδύνων, κακώσεων,
παντοίων θλίψεων
καὶ τοῦ παναλάστορος
τῆς ἐπηρείας τοὺς σὲ γεραίροντας
καὶ μέλποντας τὴν σκέπην σου
πρὸς πάντα στένοντα,
Θεοτόκε,
προστασία ἄγρυπνε
τῶν βροτῶν καὶ ἑτοίμη βοήθεια.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Κυρήνης, Σίμων ἔνθεε,
βλαστὲ πανιερώτατε,
τοῦ Ἀλεξάνδρου καὶ Ῥούφου

πάτερ, τῶν χριστοκηρύκων,
ὁ ἄκων τοῦ Παντάνακτος
Χριστοῦ Σταυρὸν ἀράμενος
ἐπ᾽ ὤμων, θεῖον ὄνομα
ἑκὼν Αὐτοῦ εἰς τὴν κτίσιν
πᾶσαν ἐκήρυξας πόθῳ.

Θεοτοκίον.

Σταυρὸν πασῶν τῶν θλίψεων
ἀξίωσον, Μητρόθεε,
αἴρειν ἡμᾶς ἀγογγύστως
τοὺς εὐλαβῶς σε ὑμνοῦντας
καὶ μνήμην ἑορτάζοντας
τοῦ Κυρηναίου Σίμωνος,
Χριστοῦ ἐπ᾽ ὤμων ἄραντος
Σταυροῦ τὸ πάνσεπτον Ξύλον
πρὸς τοῦ κρανίου τὸν τόπον.

Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν
Στιχηρὰ Προσόμοια.

Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.

Ἐρχόμενον, Σίμων, ἐξ ἀγροῦ,
ἄνερ πανσεβάσμιε,
οἱ στρατιῶται ἠγγάρευσαν
σέ, εὐσυμπάθητε,
τὸν Σταυρὸν Κυρίου
αἴρειν τοῦ Παντάνακτος

πρὸς λόφον Γολγοθᾶ, ἔνθα ἄνομοι
Τοῦτον ἐσταύρωσαν,
τὸν δι' ἄκραν ἀγαθότητα
καὶ ἀγάπην
παθόντα ὡς ἄνθρωπον.

Κυρήνης βλαστὸν πανευθαλῆ,
τὸν ἡδὺν ἀνθήσαντα
καρπὸν Σταυροῦ Ξύλου ἄρσεως
καὶ ἀλλοιώσεως
τῆς καλῆς. ἐκθύμως
πάντες μεγαλύνωμεν
νῦν Σίμωνα τοὺς πόδας ἰθύναντα
τρόπων πρὸς μίμησιν
Ἀποστόλων καὶ διάδοσιν
ἀληθείας
Χριστοῦ τοῦ Παντάνακτος.

Σεπτοῦ Ἀλεξάνδρου καὶ κλεινοῦ
Ῥούφου εὐφημήσωμεν
σεμνὸν πατέρα ἐν ᾄσμασι,
πάνσεπτον Σίμωνα,
ἐξαναγκασθέντα
τὸν Σταυρὸν τὸν Τίμιον
τοῦ πάσχοντος Χριστοῦ ἐπωμάδιον
ἆραι κραυγάζοντες·
Χαῖρε, ἄνερ ἐνθεώτατε,
σπλάγχνων θείου
ἐλέους ὁ ἔμπλεως.

Τὴν μνήμην σου, Σίμων θαυμαστέ,
πόθῳ ἑορτάζοντες
τὴν σεβασμίαν σου κραυγάζομεν·
Πάτερ παγκόσμιε,
τὸν Σταυρὸν Κυρίου
ὁ λαβὼν ἐπ᾽ ὤμων σου
πρὸς λόφον Γολγοθᾶ, τὸν σωτήριον,
ὡς εὐσυμπάθητος,
καὶ σταυρὸν τῆς διαδόσεως
ἀληθείας
Κυρίου, δεδόξασαι.

Δόξα. Ἦχος πλ. α΄.

Δεῦτε πάντες οἱ ὀπίσω τοῦ Χριστοῦ ἀκολουθεῖν θέλοντες,
οἱ καὶ ἀγογγύστως αἴροντες τὸν σταυρὸν τῶν πόνων
καὶ θλίψεων
ἐν κατανύξει τιμήσωμεν Σίμωνα τὸν Κυρηναῖον
οὕτω λέγοντες·
Ὁ τὸν Σταυρὸν τοῦ Κυρίου ἀράμενος
καὶ συνεργήσας εἰς τὸ μυστήριον τῆς τῶν βροτῶν σωτηρίας
διὰ τῆς εὐσυμπαθήτου προσφορᾶς σου,
ἐνίσχυσον ἡμᾶς ἐν τῇ πίστει
καὶ σῶσον ἐκ θανάτου τὰς ψυχὰς τῶν ὕμνοις τιμώντων σε.

Καὶ νῦν. Θεοτοκίον. Μακαρίζομέν σε, Θεοτόκε Παρθένε,...

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

# ΕΝ ΤΗ ΛΕΙΤΟΥΡΓΙΑ

Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου ἡ γ΄ καὶ ἡ στ΄ ᾠδή.

Ἀπόστολος. Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα. (Κεφ. ια΄ 19-30).

(Ζήτει τῇ Κυριακῇ Πέμπτῃ τῆς Σαμαρείτιδος)

Ἐν ταῖς ἡμέραις ἐκείναις διασπαρέντες οἱ Ἀπόστολοι...

Εὐαγγέλιον· κατὰ Μᾶρκον (Κεφ. ιε΄ 16 - 32).

(Τὸ Ἕκτον Εὐαγγέλιον τῶν Ἁγίων Παθῶν τῆς Μεγάλης Πέμπτης)

Τῷ καιρῷ ἐκείνῳ οἱ στρατιῶται ἀπήγαγον τὸν Ἰησοῦν ἔσω τῆς αὐλῆς...

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.

Μεγαλυνάριον.

Σίμων, ὁ ἀράμενος τὸν Σταυρὸν
τοῦ Χριστοῦ ἐπ᾽ ὤμων
ἄχρι λόφου τοῦ Γολγοθᾶ,

Κυρηναῖε μάκαρ,
ἡμῶν σταυρὸν ἐπαίρειν
ἀξίωσον τοῦ βίου
πόνων καὶ θλίψεων.

Ἑξάστιχον.

*Ἀθανασίῳ, Ἐπισκόπῳ Κυρήνης*
*σεμνῷ, βοήθει, Σίμων, σταυρὸν ἐπαίρειν*
*σὺν θρόνου Ἀλεξανδρείας Ἐπισκόποις*
*πᾶσιν ἀγογγύστως ποιμαντικῶν πόνων,*
*ὁ Σταυρὸν βοηθήσας Χριστῷ ἆραι*
*ἄχρι Γολγοθᾶ, Χαραλάμπης ψάλλει.*




Ὁ Ἅγιος
Σίμων
ὁ Κυρηναῖος